κινητικὸν εἶναι. καὶ Ἡράκλειτος δὲ τὴν ἀρχὴν εἶναί φησι ψυχήν, εἴπερ τὴν ἀναθυμίασιν, ἐξ ἧς τἆλλα συνίστησιν· καὶ ἀσωματώτατόν τε καὶ ῥέον ἀεί· τὸ δὲ κινούμενον κινουμένῳ γινώσκεσθαι. ἐν κινήσει δ' εἶναι τὰ ὄντα κἀκεῖνος ᾤετο καὶ οἱ πολλοί. παραπλησίως δὲ τούτοις καὶ Ἀλκμαίων ἔοικεν ὑπολαβεῖν περὶ ψυχῆς· φησὶ γὰρ αὐτὴν ἀθάνατον εἶναι διὰ τὸ ἐοικέναι τοῖς ἀθανάτοις, τοῦτο δ' ὑπάρχειν αὐτῇ ὡς ἀεὶ κινουμένῃ· κινεῖσθαι γὰρ καὶ τὰ θεῖα πάντα συνεχῶς ἀεί, σελήνην, ἥλιον, τοὺς ἀστέρας καὶ τὸν οὐρανὸν ὅλον. τῶν δὲ **405 b** φορτικωτέρων καὶ ὕδωρ τινὲς ἀπεφήναντο, καθάπερ Ἵππων· πεισθῆναι δ' ἐοίκασιν ἐκ τῆς γονῆς, ὅτι πάντων ὑγρά. καὶ γὰρ ἐλέγχει τοὺς αἷμα φάσκοντας τὴν ψυχήν, ὅτι ἡ γονὴ οὐχ αἷμα· ταύτην δ' εἶναι τὴν πρώτην ψυχήν. ἕτεροι δ' αἷμα, καθάπερ Κριτίας, τὸ αἰσθάνεσθαι ψυχῆς οἰκειότατον ὑπολαμβάνοντες, τοῦτο δ' ὑπάρχειν διὰ τὴν τοῦ αἵματος φύσιν. πάντα γὰρ τὰ στοιχεῖα κριτὴν εἴληφε, πλὴν τῆς γῆς. ταύτην δ' οὐθεὶς ἀποπέφανται, πλὴν εἴ τις αὐτὴν εἴρηκεν ἐκ

25 (φησι τὴν ψ. W, sed τὴν deletum [W²?]) **26** (εἴπερ καὶ τὴν V) (ἧς καὶ τἆλλα V) (καὶ γὰρ ἀσώματον W) **27** τε EWy *So 14, 27*: δὲ CSUX: om V (καὶ τὸ ῥέον X) τὰ δὲ κινούμενα C: τὸ κινούμενον δὲ W: κινούμενον ex -ῳ E³) **28** (κἀκεῖνός τε UX) (καὶ οἱ π. ᾤοντο X) **30** (περὶ ψ. ὑπολαβεῖν W) (αὐτὸν S) **32** (ἅπαντα S)

405 b 1 (σελήνην ἥλιον τοὺς om y) τοὺς ECSUX *Th 13, 32 So 14, 34*: om VW **2** (Ἵππων in ras E³) (γονῆς ex γῆς corr V²) **4** (ὅτι ... **5** ψυχὴν om X) **5** τὴν EVWy *So 15, 1*: om CSU (πρώτην om W) (ἕτεροι ex ἕτερον V¹) (αἷμα δ' ἕτεροι y) **6** καθάπερ Κρ. o *So 15, 2*: καθάπερ καὶ Κρ. *Ph¹ Th 13, 35* ψυχῆς o—y *Ph¹*: τῆς ψυχῆς y *So 15, 2 cf Th 13, 35* [τῇ ψυχῇ] **7** (ὑπολαβόντες X) **8** γὰρ ECSUWXy *Si¹ Ph¹*: δ' οὖν V *Th 14, 1 cf So 15, 4* [οὖν] **9** ἀποπέφανται ECy *Th 14, 2*: ἀποφαίνεται SUVWX (αὐτὰ S) (ἐκ] ἕνεκεν y)

πάντων εἶναι τῶν στοιχείων ἢ πάντα.

ὁρίζονται δὴ πάντες τὴν ψυχὴν τρισὶν ὡς εἰπεῖν, κινήσει, αἰσθήσει, τῷ ἀσωμάτῳ· τούτων δ' ἕκαστον ἀνάγεται πρὸς τὰς ἀρχάς. διὸ καὶ οἱ τῷ γινώσκειν ὁριζόμενοι αὐτὴν ἢ στοιχεῖον ἢ ἐκ τῶν στοιχείων ποιοῦσι, λέγοντες παραπλησίως ἀλλήλοις, πλὴν ἑνός· φασὶ γὰρ γινώσκεσθαι τὸ ὅμοιον τῷ ὁμοίῳ· ἐπειδὴ γὰρ ἡ ψυχὴ πάντα γιγνώσκει, συνιστᾶσιν αὐτὴν ἐκ πασῶν τῶν ἀρχῶν. ὅσοι μὲν οὖν μίαν τινὰ λέγουσιν αἰτίαν καὶ στοιχεῖον ἕν, καὶ τὴν ψυχὴν ἓν τιθέασιν, οἷον πῦρ ἢ ἀέρα· οἱ δὲ πλείους λέγοντες τὰς ἀρχὰς καὶ τὴν ψυχὴν πλείω ποιοῦσιν. Ἀναξαγόρας δὲ μόνος ἀπαθῆ φησὶν εἶναι τὸν νοῦν, καὶ κοινὸν οὐθὲν οὐθενὶ τῶν ἄλλων ἔχειν. τοιοῦτος δ' ὢν πῶς γνωριεῖ καὶ διὰ τίν' αἰτίαν, οὔτ' ἐκεῖνος εἴρηκεν οὔτ' ἐκ τῶν εἰρημένων συμφανές ἐστιν. ὅσοι δ' ἐναντιώσεις ποιοῦσιν ἐν ταῖς ἀρχαῖς, καὶ τὴν ψυχὴν ἐκ τῶν ἐναντίων συνιστᾶσιν· οἱ δὲ θάτερον τῶν ἐναντίων, οἷον θερμὸν ἢ ψυχρὸν ἤ τι τοιοῦτον ἄλλο, καὶ τὴν ψυχὴν ὁμοίως ἕν τι τούτων τιθέασιν· διὸ καὶ τοῖς ὀνόμασιν

10 ἢ πάντα b—y *Ph*^{l} ^{c}*90,17* : ηοσπαντα E [sed οσ eras], ἢ ὃς πάντα *So 15,7* : ἢ ὃ πάντα y   δὴ coni Hayduck *cf Th 14,4* : δὲ o   **11** τὴν ψυχὴν EWXy *Ph*^{l} *So 15,8 cf Th 14,4* : ψυχὴν CSU : om V *Si*^{l} *A*   (ὡς om S)   **13** (τῷ in τὸ corr E^{x})   ἢ$_{1}$ ECUVWy *So 15,11* : om SX *Ph*^{l} (τῶν om V)   **14** ἀλλήλοις o *So 15,12* : om *Ph*^{l} **15** γινώσκ. τὸ ὅμοιον τῷ ὁμοίῳ E : τὸ ὅμοιον γινώσκ. τῷ ὁμοίῳ b—X : γινώσκ. τῷ ὁμοίῳ τὸ ὅμοιον X   ἡ b—X : om EX   **16** (συνίστησιν SX)   **18** (εἰ δὲ V)   (πλείω U)   **19** (πλείονα y)   ποιοῦσιν EVX *So 15,17* : λέγουσιν CSUWy   **20** (δὲ om S)   (φύσιν V)   **21** (οὐθὲν om y)   (ἔχει W)   (γνωρίζοι y)   **22** συμφανές o [ex ἐμφ. corr vid X^{1}] *Th 14,14* : ἐμφανές *Si*^{l} *Ph*^{c} *91,27*   **24** (συνιστᾶσιν post ψυχὴν C : συνιστῶσιν W)   **25** οἷον ESUVX *Ph*^{c} *91,35 So 15,19* : om CWy   (ἄλλο om X)   (ἄλλο . . . **26** τούτων om E)

ἀκολουθοῦσιν· οἱ μὲν γὰρ τὸ θερμὸν λέγοντες, ὅτι διὰ τοῦτο καὶ τὸ ζῆν ὠνόμασται, οἱ δὲ τὸ ψυχρόν, διὰ τὴν ἀναπνοὴν καὶ τὴν κατάψυξιν καλεῖσθαι ψυχήν. τὰ μὲν οὖν παραδεδομένα περὶ ψυχῆς, καὶ δι' ἃς αἰτίας λέγουσιν οὕτω, ταῦτ' ἐστίν.

3 Ἐπισκεπτέον δὲ πρῶτον μὲν περὶ κινήσεως· ἴσως γὰρ οὐ μόνον ψεῦδός ἐστι τὸ τὴν οὐσίαν αὐτῆς τοιαύτην εἶναι οἵαν φασὶν οἱ λέγοντες ψυχὴν εἶναι τὸ κινοῦν ἑαυτὸ ἢ δυνάμενον **406**^{a} κινεῖν, ἀλλ' ἕν τι τῶν ἀδυνάτων τὸ ὑπάρχειν αὐτῇ κίνησιν. ὅτι μὲν οὖν οὐκ ἀναγκαῖον τὸ κινοῦν καὶ αὐτὸ κινεῖσθαι, πρότερον εἴρηται. διχῶς δὲ κινουμένου παντός (ἢ γὰρ καθ' ἕτερον ἢ καθ' αὑτό· καθ' ἕτερον δὲ λέγομεν, ὅσα κινεῖται τῷ ἐν κινουμένῳ εἶναι, οἷον πλωτῆρες· οὐ γὰρ ὁμοίως κινοῦνται τῷ πλοίῳ· τὸ μὲν γὰρ καθ' αὑτὸ κινεῖται, οἱ δὲ τῷ ἐν κινουμένῳ εἶναι. δῆλον δ' ἐπὶ τῶν μορίων· οἰκεία μὲν γάρ ἐστι κίνησις ποδῶν βάδισις, αὕτη δὲ καὶ ἀνθρώπων· οὐχ ὑπάρχει δὲ τοῖς πλωτῆρσι τότε) διχῶς δὴ λεγομένου τοῦ κινεῖσθαι νῦν ἐπισκοποῦμεν περὶ τῆς ψυχῆς εἰ καθ' αὑτὴν κινεῖται καὶ μετέχει κινήσεως. τεσσάρων δὲ κινήσεων οὐσῶν,

27 γὰρ E: om **b** *Th 14, 23* *So 15, 20* *cf Ph*^{p} *92, 5* (ὅτι ... **28** ὠνόμασται om V) **29** (παραδεόμενα S) **30** (οὗτοι SU) **31** (μὲν om y) **32** (ψευδές W) (ἐστι om X) (οἵαν ... **406**^{a} **1** εἶναι mg W^{1})

406^{a} **2** (κινοῦν X) αὐτῇ κ. ECSUVX *Ph*^{l} *So 16, 25*: αὐτῇ τὴν κ. W [sed τὴν exp], y **3** (οὐκ om S) (προείρηται V) **4** (παντός om S) (γὰρ om W) **5** (δὲ corr ex μὲν W^{1}) **6** (οἷον οἱ πλ. W) **7** τῷ ἐν ECUVWy *Th 15, 19*: ἐν τῷ SX **8** (μὲν om S) (κίνησίς ἐστι W) **9** (κίνησις om y) (καὶ om W) (ἀνθρώπω V) **10** (τόδε X) διχῶς **b** *Th 15, 26* *Si*^{c} *in phys 1248, 32*: δισσῶς E [σσ exp, sscr χ E^{2}] *Ph*^{l} δὴ *Si*^{c} *in phys 1248, 32 cf Th 15, 26* [οὖν]: δὲ **o** *Ph* **11** (περισκοποῦμεν V: ἐπισκοπῶμεν y: del περὶ ante ἐπισκοποῦμεν [sscr ω W^{1}] W) (τῆς om y) **12** (οὐσῶν κινήσεων V)

φορᾶς ἀλλοιώσεως φθίσεως αὐξήσεως, ἢ μίαν τούτων κινοῖτ' ἂν ἢ πλείους ἢ πάσας. εἰ δὲ κινεῖται μὴ κατὰ συμβεβηκός, φύσει ἂν ὑπάρχοι κίνησις αὐτῇ· εἰ δὲ τοῦτο, καὶ τόπος· πᾶσαι γὰρ αἱ λεχθεῖσαι κινήσεις ἐν τόπῳ. εἰ δ' ἐστὶν ἡ οὐσία τῆς ψυχῆς τὸ κινεῖν ἑαυτήν, οὐ κατὰ συμβεβηκὸς αὐτῇ τὸ κινεῖσθαι ὑπάρξει, ὥσπερ τῷ λευκῷ ἢ τριπήχει· κινεῖται γὰρ καὶ ταῦτα, ἀλλὰ κατὰ συμβεβηκός· ᾧ γὰρ ὑπάρχουσιν, ἐκεῖνο κινεῖται, τὸ σῶμα. διὸ καὶ οὐκ ἔστι τόπος αὐτῶν· τῆς δὲ ψυχῆς ἔσται, εἴπερ φύσει κινήσεως μετέχει. ἔτι δ' εἰ φύσει κινεῖται, κἂν βίᾳ κινηθείη· κἂν εἰ βίᾳ, καὶ φύσει. τὸν αὐτὸν δὲ τρόπον ἔχει καὶ περὶ ἠρεμίας· εἰς ὃ γὰρ κινεῖται φύσει, καὶ ἠρεμεῖ ἐν τούτῳ φύσει· ὁμοίως δὲ καὶ εἰς ὃ κινεῖται βίᾳ, καὶ ἠρεμεῖ ἐν τούτῳ βίᾳ. ποῖαι δὲ βίαιοι τῆς ψυχῆς κινήσεις ἔσονται καὶ ἠρεμίαι, οὐδὲ πλάττειν βουλομένοις ῥᾴδιον ἀποδοῦναι. ἔτι δ' εἰ μὲν ἄνω κινήσεται, πῦρ ἔσται, εἰ δὲ κάτω, γῆ· τούτων γὰρ τῶν σωμάτων αἱ κινήσεις αὗται. ὁ δ' αὐτὸς λόγος καὶ

13 (φθορᾶς S, E^2 [ex φορᾶς E], [corr in φορᾶς] V^1 W^1) φθίσεως **b** *Sip 34, 31 Phl p99, 9 Th 15, 20 Sic in phys 1248, 35* : om E [ins E^2] (κινοῖτ' ἂν τούτων y) **15** (ὑπάρχει S : ὑπάρχῃ UWy) **17** (ἡ om y : eras X) **18** (τὸ κινεῖσθαι αὐτῇ S) (ὑπάρχει E, χ eras, in ras ξ E^2) **19** τριπήχει ESX *Phc 101, 8 So 17, 8* : τῷ τριπήχει CUVWy *Phc 101, 11* [sed cf Hayduck adn] **20** (ὡς E, ς eras, in ras ι E^2) καὶ ECSUXy *So 17, 10* : om VW **21** (ἔστιν ὁ τόπος C) (τῇ δὲ ψυχῇ V) **22** (καὶ βίᾳ W) **23** (κἂν] καὶ W) εἰ **b** *Sip 35, 32 Phl So 17, 28* : om E [ins E^2] καὶ φύσει **b** *Sip 35, 32 Phl So 17, 28* : κατὰ φύσιν E [corr in καὶ φύσει E^2] **24** (ἐν om y) **25** (καὶ₁ om C) **26** κινήσεις ESUVX *Si Phl Th 16, 2 So 17, 31* : αἱ κινήσεις Cy, [del αἱ] W **27** (πλάσσειν X) **28** (εἰ₁] οἱ S) (εἰ₂ corr in ἡ S^1) (κινήσεται] sscr θη E^2) **29** (αὗται αἱ κινήσεις V) (αὐτὸς] αὖ S)

περὶ τῶν μεταξύ. ἔτι δ' ἐπεὶ φαίνεται κινοῦσα τὸ σῶμα,
ταύτας εὔλογον κινεῖν τὰς κινήσεις, ἃς καὶ αὐτὴ κινεῖται.
εἰ δὲ τοῦτο, καὶ ἀντιστρέψασιν εἰπεῖν ἀληθές, ὅτι ἣν τὸ σῶ-
μα κινεῖται, ταύτην καὶ αὐτή. τὸ δὲ σῶμα κινεῖται φορᾷ· **406** b
ὥστε καὶ ἡ ψυχὴ μεταβάλλοι ἂν κατὰ τὸ σῶμα ἢ ὅλη ἢ
κατὰ μόρια μεθισταμένη. εἰ δὲ τοῦτ' ἐνδέχεται, καὶ ἐξελθοῦ-
σαν εἰσιέναι πάλιν ἐνδέχοιτ' ἄν· τούτῳ δ' ἕποιτ' ἂν τὸ ἀνί-
στασθαι τὰ τεθνεῶτα τῶν ζῴων. τὴν δὲ κατὰ συμβεβηκὸς
κίνησιν κἂν ὑφ' ἑτέρου κινοῖτο· ὠσθείη γὰρ ἂν βίᾳ τὸ ζῷον.
οὐ δεῖ δὲ ᾧ τὸ ὑφ' ἑαυτοῦ κινεῖσθαι ἐν τῇ οὐσίᾳ, τοῦθ' ὑπ'
ἄλλου κινεῖσθαι, πλὴν εἰ μὴ κατὰ συμβεβηκός, ὥσπερ οὐδὲ
τὸ καθ' αὑτὸ ἀγαθὸν ἢ δι' αὑτό, τὸ μὲν δι' ἄλλο εἶναι, τὸ
δ' ἑτέρου ἕνεκεν. τὴν δὲ ψυχὴν μάλιστα φαίη τις ἂν ὑπὸ τῶν
αἰσθητῶν κινεῖσθαι, εἴπερ κινεῖται. ἀλλὰ μὴν καὶ εἰ κινεῖ

30 (τῶν ἀέρος λέγω καὶ ὕδατος μεταξύ W) ἔτι δ' ἐπεὶ **b**—y *Si*^{l} *So 18, 15*: ἔτι δ' εἰ y *cf Th 16, 10* [ἔτι δ' εἴπερ]: ἔπειτα δ' εἰ E [δ' εἰ in ras E^3, sscr ut v ἔτι δ' ἐπεὶ E^2 sed eras]: ἐπεὶ δὲ *Ph*^{l} **31** ταύτας εὔλογον E *Si*^{l} *Ph*^{l} *So 18, 18*: εὔλογον ταύτας **b** (καὶ om V)

406 b **1** κινεῖται$_2$ ECVWXy *Ph*^{l} *p106, 2 Th 16, 16 So 18, 20*: κινεῖ S. U [add -ται U^1] φορᾷ E [sscr ut v ν E^x, sed eras], WX *So 18, 20*: φορὰν SUVy, ut v C [sed ν eras] *Ph*^{l} *p106, 2* [utrobique ante κινεῖται] **2** μεταβάλλοι **o**—S *Si*^{l} *Ph*^{l}*R*: μεταβάλοι S *cf Ph*^{l}*D So 18, 20 AB* [-βάλλοι *C*] **3** ἐνδέχεται EUVX *Si*^{l} *Ph*^{l} *So 18, 22*: ἐνδέχοιτο CSW: ἐνδέχοιτ' ἂν y (ἐξελθοῦσα S) **4** (εἰσ. καὶ πάλιν W) ἐνδέχοιτ' ἂν EC, [ex ἐνδέχεται ἄν corr] V *Si*^{l} *So 18, 22*: om SUWXy *Ph*^{l} **6** (καὶ W: κἂν καὶ X) **7** (αὑτοῦ V) **8** εἰ μὴ **b** *Ph*^{l} *c109, 35 . 110, 5*: εἰ E *cf Si*^{p} *37, 25*: om *Si*^{l} **9** (ἄλλω S: ἄλλου y) (εἶναι] ἐστὶ X) **10** (μάλιστα ante ὑπὸ W) τις ἂν ECSVWy: ἄν τις UX *Si*^{l} ὑπὸ τῶν αἰσθ. ante μάλιστα *Si*^{l} **11** (αἰσθητικῶν S, [eras ικ] C) (εἰ ins C^x) κινεῖ **o** *Si*^{l}: κινήσει *Ph*^{l}: κινεῖται *Alex* ἀπ^l *46, 24*

γε αὐτὴ αὐτήν, καὶ αὐτὴ κινοῖτ᾽ ἄν, ὥστ᾽ εἰ πᾶσα κίνησις ἔκστασίς ἐστι τοῦ κινουμένου ᾗ κινεῖται, καὶ ἡ ψυχὴ ἐξίσταιτ᾽ ἂν ἐκ τῆς οὐσίας, εἰ μὴ κατὰ συμβεβηκὸς ἑαυτὴν κινεῖ, ἀλλ᾽ ἔστιν ἡ κίνησις τῆς οὐσίας αὐτῆς καθ᾽ αὐτήν. ἔνιοι δὲ καὶ κινεῖν φασὶ τὴν ψυχὴν τὸ σῶμα ἐν ᾧ ἐστίν, ὡς αὐτὴ κινεῖται, οἷον Δημόκριτος, παραπλησίως λέγων Φιλίππῳ τῷ κωμῳδοδιδασκάλῳ· φησὶ γὰρ τὸν Δαίδαλον κινουμένην ποιῆσαι τὴν ξυλίνην Ἀφροδίτην, ἐγχέαντ᾽ ἄργυρον χυτόν· ὁμοίως δὲ καὶ Δημόκριτος λέγει· κινουμένας γάρ φησι τὰς ἀδιαιρέτους σφαίρας, διὰ τὸ πεφυκέναι μηδέποτε μένειν, συνεφέλκειν καὶ κινεῖν τὸ σῶμα πᾶν. ἡμεῖς δ᾽ ἐρωτήσομεν εἰ καὶ ἠρέμησιν ποιεῖ τοῦτ᾽ αὐτό. πῶς δὲ ποιήσει, χαλεπὸν ἢ καὶ

12 γε E [sed exp], X *Si*^{l} *Ph*^{l} *:* om CSUVWy *Alex ἀπ*^{l}*46, 24 So 18, 34* αὐτὴν E [ins ἑ E^{2}], X : ἑαυτὴν **b**—X *Si*^{l} *Ph*^{l} *So 18, 34 :* αὐτῇ *Alex ἀπ*^{l} *46, 24* (ἂν om *Si*^{l} *A*) εἰ **o**—X *Si*^{l} *So 18, 35 :* ἐπεὶ X *Ph*^{l} *Alex ἀπ*^{l} *46, 25* **13** ᾗ ECSUXy *Si*^{l} *So 18, 35 :* εἰ W *Ph*^{l} *Alex ἀπ*^{l} *46, 25 :* om et post κινεῖται add δὲ V ἐξίσταιτ᾽ ἂν EV *Ph*^{l} *Th 18, 11 Alex ἀπ*^{l} *46, 26 :* ἐξίσταται ἂν W : ἐξίστατο ἂν y : ἐξισταίη ἂν C *cf So 18, 36 :* ἐξίσταται [om ἂν] SUX **14** ἐκ τῆς οὐσίας SUWX *Si*^{l} *Ph*^{l} *Alex ἀπ*^{l} *46, 26 :* ἐκ τῆς οὐσίας αὐτῆς καθ᾽ αὐτὴν E [καθ᾽ αὐτὴν del E^{3}] : τῆς οὐσίας αὐτῆς *Th 18, 11 So 18, 36 cf Ph*^{p} *113, 15* [ἑαυτῆς] : αὐτῆς τῆς οὐσίας V : τῆς οὐσίας C : τῆς ψυχῆς y [del, sscr γρ. τῆς οὐσίας] ἑαυτὴν κινεῖ ES : αὐτὴν κινεῖ **b**—S *Si*^{l} *Alex ἀπ 47, 1 :* κινεῖται *Ph*^{l} ^{c}*113, 2* **15** αὐτῆς EUWXy *Si*^{l} *Ph*^{l} *:* αὐτῇ SV : αὐτὴ C **16** φασὶ τὴν ψυχὴν EVX : τὴν ψ. φασὶ CSUWy : τὴν ψυχὴν om, φασὶ ante **15** καὶ *Ph*^{c} *114, 28* **17** (οἷον V, sed corr in ὡς V^{x}) κωμωδοδιδασκάλῳ ECSU *Th 19, 9 :* κωμοδιδασκάλῳ WX *So 18, 29 A* [κωμωδιδ. *C*] : κωμωδιοδιδασκάλῳ Vy *So 18, 29 B* **19** (δὲ om Wy) **20** (καὶ ὁ Δ. S) (φησι om X) **22** καὶ$_{1}$ ESUX : τε καὶ CVWy *So 18, 28* ἐρωτήσομεν EWy *Ph*^{l} *D So 18, 31 :* ἐρωτήσωμεν CSUV, [sscr ο] X, *Ph*^{l} *R* ἠρέμησιν EVy *Ph*^{l} *So 18, 31 :* ἠρεμήσειν CSUW : ἠρεμεῖν X **23** ποιεῖ τοῦτο αὐτὸ **b**—V *Ph*^{l} *So 18, 31 AC* [τοῦτο ποιεῖ αὐτὸ *B*] *:* ποιεῖ ταὐτὰ ταῦτα E, eras ταὐτὰ ταῦτα, in ras τοῦτο αὐτὸ E^{3} : τοῦτο ποιεῖ ποτε V ἢ καὶ ECSUy *So 18, 31 :* καὶ W : ἢ VX

ἀδύνατον εἰπεῖν. ὅλως δ' οὐχ οὕτω φαίνεται κινεῖν ἡ ψυχὴ τὸ ζῷον, ἀλλὰ διὰ προαιρέσεώς τινος καὶ νοήσεως.

τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ Τίμαιος φυσιολογεῖ τὴν ψυχὴν κινεῖν τὸ σῶμα· τῷ γὰρ κινεῖσθαι αὐτὴν καὶ τὸ σῶμα κινεῖν διὰ τὸ συμπεπλέχθαι πρὸς αὐτό. συνεστηκυῖαν γὰρ ἐκ τῶν στοιχείων καὶ μεμερισμένην κατὰ τοὺς ἁρμονικοὺς ἀριθμούς, ὅπως αἴσθησίν τε σύμφυτον ἁρμονίας ἔχῃ καὶ τὸ πᾶν φέρηται συμφώνους φοράς, τὴν εὐθυωρίαν εἰς κύκλον κατέκαμψεν, καὶ διελὼν ἐκ τοῦ ἑνὸς κύκλους δύο διασαχῇ συνημμένους πάλιν τὸν ἕνα διεῖλεν εἰς ἑπτὰ κύκλους, ὡς οὔσας τὰς τοῦ 407a οὐρανοῦ φορὰς τὰς τῆς ψυχῆς κινήσεις. πρῶτον μὲν οὖν οὐ καλῶς τὸ λέγειν τὴν ψυχὴν μέγεθος εἶναι· τὴν γὰρ τοῦ παντὸς δῆλον ὅτι τοιαύτην εἶναι βούλεται οἷόν ποτ' ἐστὶν ὁ καλούμενος νοῦς· οὐ γὰρ δὴ οἷόν γ' ἡ αἰσθητική, οὐδ' οἷον ἡ ἐπιθυμητική· τούτων γὰρ ἡ κίνησις οὐ κυκλοφορία· ὁ δὲ νοῦς εἷς καὶ συνεχὴς ὥσπερ καὶ ἡ νόησις· ἡ δὲ νόησις τὰ νοήματα· ταῦτα δὲ τῷ ἐφεξῆς ἕν, ὡς ἀριθμός, ἀλλ' οὐχ ὡς τὸ

24 κινεῖν ἡ ψυχὴ **o**—V *Ph^{l}* : ἡ ψ. κινεῖν V *Si^{l}* **28** (συμπεπλῆχθαι E) (συνεστηκέναι V) **29** (καὶ om V) **30** ἁρμονίας **o** *Ph^{c} 122,31 Th 20,18* : ἁρμονίαν *Ph^{l} So 19, 21* (συμφέρηται W) ἔχῃ **o** *Th 20, 18 So 19, 21* : λάβῃ *Ph^{l} ^{c}122, 31* **31** (ἔκαμψε W : ἀπέκαμψεν y) **32** (διόλων S) κύκλους δύο E : κύκλου εἰς δύο y : εἰς δύο κύκλους CW : δύο κύκλους SUVX

407a 2 (φορὰς] σφαίρας y) (ante τὰς ins κατὰ C^{3}) τῆς **o** *Si^{c} 41, 1 Ph^{c} 123, 23 ; ^{p}27 So 19, 24* : ἐκ τῆς *Ph^{c} 123, 17* οὖν ECSUXy *Si^{l} Ph^{l} Th 20, 19* : om VW οὐ καλῶς **o** *Si^{l} cf So 20, 25* : οὐκ εὖ *Ph^{l} cf Th 20, 19* **4** εἶναι βούλεται ECSUVW *Si^{c} 3, 36 Th 20, 20* : βούλεται εἶναι Xy : εἶναι βούλονται *Ph^{l}* (οἷον ex οἷος corr C^{1}) **5** (δὴ om S) γ' ECSUVX *Si^{c} 4, 1 So 20, 27* : om Wy ($ἡ_{1}$ om X suppl X^{2}) **7** (ἡ δὲ νόησις] καὶ X) **8** (τῷ ἐφεξῆς] τὸ ἐφ. C : ὡς ἀριθμὸς y) ἀριθμός **b** *Ph^{l} cf So 20, 37* : ὁ ἀριθμός E [ὁ eras], *cf Si^{p} 42, 25 Ph^{p} 126, 11* τὸ **o** *Si^{c} 42, 26* : om *Ph^{l} So 20, 38*

μέγεθος· διόπερ οὐδ' ὁ νοῦς οὕτω συνεχής, ἀλλ' ἤτοι ἀμερὴς ἢ οὐχ ὡς μέγεθός τι συνεχής. πῶς γὰρ δὴ καὶ νοήσει μέγεθος ὢν ὁτῳοῦν τῶν μορίων τῶν αὑτοῦ; μορίων δ' ἤτοι κατὰ μέγεθος ἢ κατὰ στιγμήν, εἰ δεῖ καὶ τοῦτο μόριον εἰπεῖν. εἰ μὲν οὖν κατὰ στιγμήν, αὗται δ' ἄπειροι, δῆλον ὡς οὐδέποτε διέξεισιν· εἰ δὲ κατὰ μέγεθος, πολλάκις ἢ ἀπειράκις νοήσει τὸ αὐτό, φαίνεται δὲ καὶ ἅπαξ ἐνδεχόμενον. εἰ δ' ἱκανὸν θιγεῖν ὁτῳοῦν τῶν μορίων, τί δεῖ κύκλῳ κινεῖσθαι ἢ καὶ ὅλως μέγεθος ἔχειν; εἰ δ' ἀναγκαῖον νοῆσαι τῷ ὅλῳ κύκλῳ θιγόντα, τίς ἐστιν ἡ τοῖς μορίοις θίξις; ἔτι δὲ πῶς νοήσει τὸ μεριστὸν ἀμερεῖ ἢ τὸ ἀμερὲς μεριστῷ; ἀναγκαῖον δὲ τὸν νοῦν εἶναι τὸν κύκλον τοῦτον· νοῦ μὲν γὰρ κίνησις νόησις, κύκλου δὲ περιφορά· εἰ οὖν ἡ νόησις περιφορά, καὶ νοῦς ἂν εἴη ὁ κύκλος, οὗ ἡ τοιαύτη περιφορὰ [νόησις]. ἀεὶ δὲ δή τί νοήσει; (δεῖ γάρ, εἴπερ ἀΐδιος ἡ περιφορά)· τῶν μὲν γὰρ πρακτικῶν νοήσεων ἔστι πέρατα (πᾶσαι γὰρ ἑτέρου χάριν), αἱ δὲ

9 (ὁ om W) **10** ὡς μέγεθός τι **o** Ph^l *So 20,38*: ὡς τὸ μέγεθος Si^c *42,27 . 33* **11** ὁτῳοῦν τῶν μορίων **b**—V Ph^l: ἐν ὁτῳοῦν τῶν μορίων V, [ἐν ins] y^2 Si^l: πότερον ὁτῳοῦν μορίῳ E [πότερον exp E^2, nunc eras, in ras ἐν E^3, post ὁτῳοῦν ins τῶν, post μορίῳ ins ν E^2]: πότερον καθ' ὅλον ἢ ἐν ὁτῳοῦν τῶν μορίων *So 21,7* [καθ' ὅλον *A*, *cf 21,30; 22,11 . 23*: καθόλου *BC*] $τῶν_2$ ECSUWXy Si^l Ph^l: om V *So 21,8* **12** τοῦτο μόριον **o** Ph^l *p129,33 Th 21,10 So 21,9*: ταῦτα μόρια Si^c *43,23* εἰπεῖν **o** *So 21,9*: λέγειν Si^c *43,23 Th 21,10*: καλεῖν Ph^l *p129,33* **13** (αὗται δ'] ἐπειδὴ γὰρ Si^l) **15** (εἰ δ'] εἰ δὴ X) **16** ὁτῳοῦν **o** Ph^l: καὶ ὁτῳοῦν Si^l καὶ ECXy Si^l *Th 21,14*: om SUVW Ph^l **18** (θίγοντι V) (τῶν μορίων W) **19** ἢ **o** Ph^l *c131,21 So 23,7*: καὶ Si^l (ἀνάγκη W) (δὲ] τε X) (τὸν] τὸ S) **20** (εἶναι post **19** δὲ V) **21** (εἰ οὖν ἡ] ἡ οὖν W) (ὁ νοῦς y) (ὁ κύκλος εἴη X) **22** νόησις **o** Ph^l: om *So 23,17* del To (αἰεὶ ins ι E^2) (δὲ δὴ] δὲ ex δὴ vel vice versa S: δὲ W) **23** πρακτικῶν ECVy Si^p *46,27* Ph^l *QC corr* D^2 [ποιητικῶν *R*] *p133,10 Th 22,21 So 23,22*: ποιητικῶν καὶ πρακτικῶν SUWX **24** (κινήσεων S) (ἔσται y)

θεωρητικαὶ τοῖς λόγοις ὁμοίως ὁρίζονται· λόγος δὲ πᾶς ὁρισμὸς ἢ ἀπόδειξις· ἡ μὲν οὖν ἀπόδειξις καὶ ἀπ' ἀρχῆς καὶ ἔχουσά πως τέλος τὸν συλλογισμὸν ἢ τὸ συμπέρασμα· εἰ δὲ μὴ περατοῦνται, ἀλλ' οὐκ ἀνακάμπτουσί γε πάλιν ἐπ' ἀρχήν, προσλαμβάνουσαι δ' ἀεὶ μέσον καὶ ἄκρον εὐθυποροῦσιν· ἡ δὲ περιφορὰ πάλιν ἐπ' ἀρχὴν ἀνακάμπτει. οἱ δ' ὁρισμοὶ πάντες πεπερασμένοι. ἔτι εἰ ἡ αὐτὴ περιφορὰ πολλάκις, δεήσει πολλάκις νοεῖν τὸ αὐτό. ἔτι δ' ἡ νόησις ἔοικεν ἠρεμήσει τινὶ καὶ ἐπιστάσει μᾶλλον ἢ κινήσει· τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ συλλογισμός. ἀλλὰ μὴν οὐδὲ μακάριόν γε τὸ μὴ ῥᾴδιον ἀλλὰ βίαιον· εἰ δ' ἐστὶν ἡ κίνησις αὐτῆς μὴ οὐσία, πα- **407^{b}**
ρὰ φύσιν ἂν κινοῖτο· ἐπίπονον δὲ καὶ τὸ μεμεῖχθαι τῷ σώματι μὴ δυνάμενον ἀπολυθῆναι, καὶ προσέτι φευκτόν, εἴπερ βέλτιον τῷ νῷ μὴ μετὰ σώματος εἶναι, καθάπερ εἴωθέ τε λέγεσθαι καὶ πολλοῖς συνδοκεῖ. ἄδηλος δὲ καὶ τοῦ κύκλῳ φέρεσθαι τὸν οὐρανὸν ἡ αἰτία· οὔτε γὰρ τῆς ψυχῆς ἡ οὐσία αἰτία τοῦ κύκλῳ φέρεσθαι, ἀλλὰ κατὰ συμβεβηκὸς οὕτω κινεῖται, οὔτε τὸ σῶμα αἴτιον, ἀλλ' ἡ ψυχὴ μᾶλλον ἐκείνῳ. ἀλλὰ μὴν οὐδ' ὅτι βέλτιον λέγεται· καίτοι γ' ἐχρῆν

25 (πᾶς ἢ y) **26** ἡ μὲν οὖν ἀπόδειξις E [αἱ et -εις sscr E^{3}] *cf Si^{p} 46, 29:* αἱ μὲν οὖν ἀποδείξεις y *cf So 23, 27:* αἱ δ' ἀποδείξεις **b**—y **27** ἔχουσα E [sscr ι E^{3}] *cf Si^{p} 46, 32:* ἔχουσι **b** **28** (γε om V) **29** προσλαμβάνουσαι **b**—y *Ph^{l} c135, 1. 14 So 23, 29:* προσκαταλαμβάνουσαι **y**: προσαναλαμβάνουσαι E [sed ανα exp E^{2} et E^{3}] (ἄκρον καὶ μέσον W) **31** ἔτι εἰ ECVW *So 24, 2:* ἔτι δ' εἰ Xy, [δὲ postea add U^{1}, εἰ ἡ in ras] U *Si^{l} Ph^{l}:* ἔτι δ' S (ἡ om X) (φορὰ X) **32** (ἔτι δὲ καὶ y) **33** (ἐπιστάσει del ἐπι E^{3}) (δὴ V)

407^{b} 1 (ἡ om V) (μὴ in ras C^{3}) (καὶ παρὰ X) **2** ἂν κινοῖτο E *Si^{l} c48, 13 Ph^{l}:* κινοῖτ' ἂν **b** **3** φευκτόν **o** *Si^{p} 49, 6 Th 23, 9:* φευκτέον *Ph^{l} So 24, 11* εἴπερ **o** *Th 23, 9:* ἐπείπερ *Ph^{l} So 24, 11* **4** (καὶ καθάπερ S) **5** (δοκεῖ W) (καὶ$_{2}$ om W) **9** (ἐκεῖνο C) (οὐ βέλτιον δ' ὅτι S) γ' om E *So 24, 21*

διὰ τοῦτο τὸν θεὸν κύκλῳ ποιεῖν φέρεσθαι τὴν ψυχήν, ὅτι βέλτιον αὐτῇ τὸ κινεῖσθαι τοῦ μένειν, κινεῖσθαι δ' οὕτως ἢ ἄλλως.

ἐπεὶ δ' ἐστὶν ἡ τοιαύτη σκέψις ἑτέρων λόγων οἰκειοτέρα, ταύτην μὲν ἀφῶμεν τὸ νῦν. ἐκεῖνο δὲ ἄτοπον συμβαίνει καὶ τούτῳ τῷ λόγῳ καὶ τοῖς πλείστοις τῶν περὶ ψυχῆς· συνάπτουσι γὰρ καὶ τιθέασιν εἰς σῶμα τὴν ψυχήν, οὐθὲν προσδιορίσαντες διὰ τίν' αἰτίαν καὶ πῶς ἔχοντος τοῦ σώματος. καίτοι δόξειεν ἂν τοῦτ' ἀναγκαῖον εἶναι· διὰ γὰρ τὴν κοινωνίαν τὸ μὲν ποιεῖ τὸ δὲ πάσχει καὶ τὸ μὲν κινεῖται τὸ δὲ κινεῖ, τούτων δ' οὐθὲν ὑπάρχει πρὸς ἄλληλα τοῖς τυχοῦσιν. οἱ δὲ μόνον ἐπιχειροῦσι λέγειν ποῖόν τι ἡ ψυχή, περὶ δὲ τοῦ δεξομένου σώματος οὐθὲν ἔτι προσδιορίζουσιν ὥσπερ ἐνδεχόμενον κατὰ τοὺς Πυθαγορικοὺς μύθους τὴν τυχοῦσαν ψυχὴν εἰς τὸ τυχὸν ἐνδύεσθαι σῶμα· [δοκεῖ γὰρ ἕκαστον ἴδιον ἔχειν εἶδος καὶ μορφήν.] παραπλήσιον δὲ λέγουσιν ὥσπερ εἴ τις φαίη τὴν τεκτονικὴν εἰς αὐλοὺς ἐνδύεσθαι· δεῖ γὰρ τὴν μὲν τέχνην χρῆσθαι τοῖς ὀργάνοις, τὴν δὲ ψυχὴν τῷ σώματι.

10 κύκλῳ ποιεῖν EUX *So 24, 22* : ποιεῖν κύκλῳ CSVWy **12** (ἐπεὶ corr ex ἐπι E[3]) **13** (ἀφίεμεν E, -ιῶμεν E[2]) **14** τῶν **b** *Si[1] Fh[1] Th 23, 24* : τοῖς E [τῶν E[2]], *So 24, 25* **15** (οὐδὲ X, -ν add X[x]) **16** προσδιορίσαντες **o**—SW *Ph[p] 140, 2 Th 23, 15 So 24, 26* : προδιορίσαντες SW *Ph[p] 140, 2 t* (προσδ. καὶ διὰ V) (τίνα E[2] in ras, τὴν E) **17** δόξειεν ἂν E [$ν_1$ ins E[3]], W *So 24, 27* : δόξειέ γ' ἂν CSUVXy **18** ποιεῖ τὸ E *Th 23, 27 So 24, 29* : ποιεῖ τι τὸ **b** **20** μόνον ἐπιχειροῦσι λέγειν ECSUVX *Si[1] Th 23, 31 So 24, 34* : λέγειν μόνον ἐπιχειροῦσι Wy ποῖόν τι **o** *Th 23, 31 So 24, 35* : ὁποῖόν τι *Si[1]* **21** (δεξαμένου S) **23** (ἐνδύεσθαι om S) δοκεῖ ... **24** μορφήν **delevi** (εἶδος ἴδιον ἔχειν W) εἶδος καὶ **b** *Si[1] cf Ph[p] 140, 9; 139, 26 sqq* : εἶδος σῶμα καὶ E *Th 23, 36 cf So 24, 32* **24** παραπλήσιον ECWy *Th 24, 2 So 26, 2* : παραπλησίως SUVX δὲ E : δὴ SUX : δή τι CVWy *Th 24, 2* [δὴ οὖν τι] (ἂν post ὥσπερ ins E[3])

4 Καὶ ἄλλη δέ τις δόξα παραδέδοται περὶ ψυχῆς, πιθανὴ μὲν πολλοῖς οὐδεμιᾶς ἧττον τῶν λεγομένων, λόγον δ' ὥσπερ ⟨καὶ⟩ εὐθύνας δεδωκυῖα καὶ τοῖς ἐν κοινῷ γινομένοις λόγοις. ἁρμονίαν γάρ τινα αὐτὴν λέγουσι· καὶ γὰρ τὴν ἁρμονίαν κρᾶσιν καὶ σύνθεσιν ἐναντίων εἶναι, καὶ τὸ σῶμα συγκεῖσθαι ἐξ ἐναντίων. καίτοι γε ἡ μὲν ἁρμονία λόγος τίς ἐστι τῶν μειχθέντων ἢ σύνθεσις, τὴν δὲ ψυχὴν οὐδέτερον οἷόν τ' εἶναι τούτων. ἔτι δὲ τὸ κινεῖν οὐκ ἔστιν ἁρμονίας, ψυχῇ δὲ πάντες ἀπονέμουσι τοῦτο μάλισθ' ὡς εἰπεῖν, ἁρμόζει δὲ μᾶλ- **408a**
λον καθ' ὑγιείας λέγειν ἁρμονίαν, καὶ ὅλως τῶν σωματικῶν ἀρετῶν, ἢ κατὰ ψυχῆς. φανερώτατον δ' εἴ τις ἀποδιδόναι πειραθείη τὰ πάθη καὶ τὰ ἔργα τῆς ψυχῆς ἁρμονίᾳ τινί· χαλεπὸν γὰρ ἐφαρμόζειν. ἔτι δ' εἰ λέγομεν τὴν ἁρμονίαν εἰς δύο ἀποβλέποντες, κυριώτατα μὲν τῶν μεγεθῶν ἐν τοῖς ἔχουσι κίνησιν καὶ θέσιν τὴν σύνθεσιν αὐτῶν, ἐπει-

27 (παραδέδοται δόξα y) **28** οὐδεμιᾶς ESVX *Th 24, 13* *Ph*^{l} [οὐδὲ μιᾶς] : καὶ οὐδεμιᾶς CUWy *So 25, 4* ἧττον ES [corr ον in ων S^1], V^x y^2, *Th 24, 14* [ἧσσον] : ἥττων **b** S *Ph*^{l} *So 25, 5 AC* [ἧττον *B*] λόγον δ' ὥσπερ ⟨καὶ⟩ Bergk Herm. 18, 518 : λόγους [λόγοις V] δ' ὥσπερ **o** **29** (δεδωκυῖαν W, -α W^x) (ἐν τῷ κ. S, y^2 [om καὶ]) γινομένοις ECVXy *Si*^{p} *53, 1* : λεγομένοις SUW *Ph*^{c} *145, 22* [δεδομένοις *Ph*^{l}] λόγοις ECWXy *Si*^{p} *53, 1* *Ph*^{l} ^{c}*145, 22* : om SU, V [eras 6 litt] **30** τινα αὐτὴν ESUVX : τινα αὐτήν τινες CWy *So 25, 8* *cf Th 25, 15* (ἁρμονίας S) **31** (κρᾶσίν τινα *Si*^{l}) (ἐναντίον S) (κινεῖσθαι S) **32** γε **b** *Si*^{l} *Ph*^{l} : om E *So 25, 10* **33** ἢ ESUVX *Si*^{l} *Ph*^{l} : ἢ καὶ CWy (τούτων οἷόν τ' εἶναι V : οἷόν τε [οἴονται (sic) D, ὤοντο R] τούτων εἶναι *Ph*^{l})

408a **1** πάντες ἀπονέμουσι E *Ph*^{l} *So 25, 17* : ἅπαντες ἀπονέμουσι UX : ἀπονέμουσιν ἅπαντες CSVWy (τε X) **2** (ὑγείας VX) **3** (φανερωτάτων E [-ώτατον corr et sscr -τερον E^3] : φανερώτερον y) (δ' ἂν εἴη εἰ W) **5** (ἔτι δ' om V, sed lac vel ras 3 litt) (δ' om y) εἰ ECSUWX *Si*^{l} : ἐπεὶ Vy *Ph*^{l} *cf So 25, 33* λέγομεν **o**—y *Si*^{l} *Ph*^{l} *So 25, 34* : λέγοιμεν corr E^3 y **6** ἀποβλέποντες **o** *Si*^{l} *So 25, 34* : βλέποντες *Ph*^{l} **7** (καὶ θέσιν καὶ X : καὶ θέσιν δὲ y, δὲ del y^2)

δὰν οὕτω συναρμόζωσιν ὥστε μηδὲν συγγενὲς παραδέχεσθαι, ἐντεῦθεν δὲ καὶ τὸν τῶν μεμειγμένων λόγον, οὐδετέρως μὲν οὖν εὔλογον, ἡ δὲ σύνθεσις τῶν τοῦ σώματος μερῶν λίαν εὐεξέταστος. πολλαί τε γὰρ αἱ συνθέσεις τῶν μερῶν καὶ πολλαχῶς· τίνος οὖν ἢ πῶς ὑπολαβεῖν τὸν νοῦν χρὴ σύνθεσιν εἶναι, ἢ καὶ τὸ αἰσθητικὸν ἢ ὀρεκτικόν; ὁμοίως δὲ ἄτοπον καὶ τὸ λόγον τῆς μίξεως εἶναι τὴν ψυχήν· οὐ γὰρ τὸν αὐτὸν ἔχει λόγον ἡ μίξις τῶν στοιχείων καθ' ἣν σὰρξ καὶ καθ' ἣν ὀστοῦν· συμβήσεται οὖν πολλάς τε ψυχὰς ἔχειν καὶ κατὰ πᾶν τὸ σῶμα, εἴπερ πάντα μὲν ἐκ τῶν στοιχείων μεμειγμένων, ὁ δὲ τῆς μίξεως λόγος ἁρμονία καὶ ψυχή. ἀπαιτήσειε δ' ἄν τις τοῦτό γε καὶ παρ' Ἐμπεδοκλέους· ἕκαστον γὰρ αὐτῶν λόγῳ τινί φησιν εἶναι· πότερον οὖν ὁ λόγος ἐστὶν ἡ ψυχή, ἢ μᾶλλον ἕτερόν τι οὖσα ἐγγίνεται τοῖς μέρεσιν; ἔτι δὲ πότερον ἡ φιλία τῆς τυχούσης αἰτία μίξεως ἢ τῆς κατὰ τὸν λόγον; καὶ αὕτη πότερον ὁ λόγος ἐστὶν ἢ παρὰ τὸν λόγον ἕτερόν τι; ταῦτα μὲν οὖν ἔχει τοιαύτας ἀπορίας. εἰ δ' ἐστὶν ἕτερον ἡ

8 συναρμοσθῶσιν Xy (συγγενέσθαι E) **9** (λόγων S) οὐδετέρως **o** *Si*^{c} *55,5 cf So 26,1*: οὐδέτερον *Ph*^{l} (οὖν om y) **10** (ἡ δὲ corr in οὐδὲ E^{3}) (δὲ] γὰρ in litura V) **11** αἱ ESUWXy *Ph*^{c} *149,13 So 26,2*: om CV μερῶν **o**—C *Ph*^{c} *149,13 cf So 26,2*: πολλῶν E^{2} [πολλ- in ras, eras μερ-], C **12** τὸν νοῦν χρὴ EX: χρὴ τὸν νοῦν **b**—X *Si*^{l} **13** καὶ$_{1}$ om W *So 26,5* (ἢ καὶ ὀρ. X: ἢ τὸ ὀρ. W) (καὶ ἄτοπον καὶ y [καὶ$_{1}$ del y^{2}]) ἄτοπον **o** *Si*^{l} *So 26,5*: ἄπορον γρ. y^{2} *Ph*^{l} [sed *cf* ^{p}*149,18*] τὸ λόγον Vy^{2} *Ph*^{l} *D*: τὸν λόγον **o**—V [ν eras X^{2}] *Si*^{l}: «τὸ τὸν λόγον» *So 26,6* **14** τῆς μίξεως εἶναι **o**—X *Si*^{l} *So 26,6*: εἶναι τῆς μίξεως X: εἶναι τῶν μίξεων *Ph*^{l} **17** (ὁ] οὐ W sscr ὁ W^{2}) **19** (γε τοῦτο W) αὐτῶν ἐν λόγῳ Wy *So 26,12* **20** (φησί τινι y) (ὁ om V) **21** ἐγίνετο CV μέρεσιν E[sscr λ E^{3}], Wy: μέλεσιν CSUV: μιχθεῖσιν X *Ph*^{p} *150,11 So 26,16* (ἡ φιλία πότερον X) **22** (τυχούσης] ψυχῆς S) τὸν **o**—W: om W *Ph*^{p} *150,28 So 26,23 cf Si*^{p} *56,5*

ψυχή· τῆς μίξεως, τί δή ποτε ἅμα τὸ σαρκὶ εἶναι ἀναιρεῖται καὶ τὸ τοῖς ἄλλοις μορίοις τοῦ ζῴου; πρὸς δὲ τούτοις εἴπερ μὴ ἕκαστον τῶν μορίων ψυχὴν ἔχει, εἰ μή ἐστιν ἡ ψυχὴ ὁ λόγος τῆς μίξεως, τί ἐστιν ὃ φθείρεται τῆς ψυχῆς ἀπολιπούσης;

ὅτι μὲν οὖν οὔθ' ἁρμονίαν οἷόν τ' εἶναι τὴν ψυχὴν οὔτε κύκλῳ περιφέρεσθαι, δῆλον ἐκ τῶν εἰρημένων, κατὰ συμβεβηκὸς δὲ κινεῖσθαι, καθάπερ εἴπομεν, ἔστι καὶ κινεῖν ἑαυτήν, οἷον κινεῖσθαι μὲν ἐν ᾧ ἐστί, τοῦτο δὲ κινεῖσθαι ὑπὸ τῆς ψυχῆς· ἄλλως δ' οὐχ οἷόν τε κινεῖσθαι κατὰ τόπον αὐτήν. εὐλογώτερον δ' ἀπορήσειεν ἄν τις περὶ αὐτῆς ὡς κινουμένης, εἰς τὰ τοιαῦτα ἀποβλέψας. φαμὲν γὰρ τὴν ψυχὴν 408 b λυπεῖσθαι χαίρειν, θαρρεῖν φοβεῖσθαι, ἔτι δὲ ὀργίζεσθαί τε καὶ αἰσθάνεσθαι καὶ διανοεῖσθαι· ταῦτα δὲ πάντα κινήσεις εἶναι δοκοῦσιν. ὅθεν οἰηθείη τις ἂν αὐτὴν κινεῖσθαι· τὸ δ' οὐκ ἔστιν ἀναγκαῖον. εἰ γὰρ καὶ ὅτι μάλιστα τὸ λυπεῖσθαι ἢ χαίρειν ἢ διανοεῖσθαι κινήσεις εἰσὶ καὶ ἕκαστον κινεῖσθαι τούτων, τὸ δὲ κινεῖσθαί ἐστιν ὑπὸ τῆς ψυχῆς, οἷον τὸ

25 μίξεως **o** *Ph*[c] *151, 21* *Th 25, 27* *So 26, 28*: ἁρμονίας *Ph*[l] ἅμα post ἀναιρεῖται UX τὸ E [corr in τῶ E[x]], VC[2]U[1]W[2] *Alex ap Ph 151, 32* *Ph*[l c] *151 23* *So 26, 29 A*: τῷ **b**—V *So 26, 29* *BC* **26** τὸ E [corr in τῶ E[x]] CX *Alex ap Ph 151, 32* *Si*[p] *56, 10* *Ph*[l c] *151, 23*: τῷ y X[x]: om SUVW **27** ἡ **o** *So 26, 36* *cf Si*[p] *56, 18*: om *Ph*[l c] *153, 3* **28** ὁ **o** *Ph*[c] *153, 3* *So 26, 36* *cf Si*[p] *56, 18*: om *Ph*[l] **29** ἀπολιπούσης E [-ει- corr E[x]] CUy *Th 25, 30 . 33* *So 26, 37 B*: ἀπολειπούσης SVW, [eras ε] X *Si*[p] *56, 20 . 26* *Ph*[l c] *153, 4* *So 26, 37 AC* **31** (καθάπερ εἴπομεν κινεῖσθαι V) (κινεῖν ἐστὶ καὶ W) **33** (κατὰ ante κινεῖσθαι V: om W) **34** (δ' om *Ph*[l])

408 b 3 (καὶ διανοεῖσθαι om C) **4** (κίνησις C) (κινεῖσθαι ἢ χαίρειν W: κιν. ἢ χαίρειν ἢ διανοεῖσθαι y) **5** (ἔστιν om W) **7** τούτων ESUVWy: μᾶλλον C [corr in τούτων C[2]]: τι X *Ph*[l c] *156, 15 D* [om *R cf Si*[l]]

ὀργίζεσθαι ἢ φοβεῖσθαι τὸ τὴν καρδίαν ὡδὶ κινεῖσθαι (τὸ δὲ διανοεῖσθαι ἢ τοιοῦτον ἴσως ἢ ἕτερόν τι), τούτων δὲ συμβαίνει τὰ μὲν κατὰ φορὰν τινῶν κινουμένων, τὰ δὲ κατ' ἀλλοίωσιν (ποῖα δὲ καὶ πῶς, ἕτερός ἐστι λόγος)· τὸ δὴ λέγειν ὀργίζεσθαι τὴν ψυχὴν ὅμοιον κἂν εἴ τις λέγοι τὴν ψυχὴν ὑφαίνειν ἢ οἰκοδομεῖν· βέλτιον γὰρ ἴσως μὴ λέγειν τὴν ψυχὴν ἐλεεῖν ἢ μανθάνειν ἢ διανοεῖσθαι, ἀλλὰ τὸν ἄνθρωπον τῇ ψυχῇ· τοῦτο δὲ μὴ ὡς ἐν ἐκείνῃ τῆς κινήσεως οὔσης, ἀλλ' ὁτὲ μὲν μέχρι ἐκείνης, ὁτὲ δ' ἀπ' ἐκείνης. οἷον ἡ μὲν αἴσθησις ἀπὸ τωνδί, ἡ δ' ἀνάμνησις ἀπ' ἐκείνης ἐπὶ τὰς ἐν τοῖς αἰσθητηρίοις κινήσεις ἢ μονάς. ὁ δὲ νοῦς ἔοικεν ἐγγίνεσθαι οὐσία τις οὖσα, καὶ οὐ φθείρεσθαι. μάλιστα γὰρ ἐφθείρετ' ἂν ὑπὸ τῆς ἐν τῷ γήρᾳ ἀμαυρώσεως, νῦν δ' ἴσως ὅπερ ἐπὶ τῶν αἰσθητηρίων συμβαίνει· εἰ γὰρ λάβοι ὁ πρεσβύτης ὄμμα τοιονδί, βλέποι ἂν ὥσπερ καὶ ὁ νέος. ὥστε τὸ γῆρας οὐ

8 (ἢ τὸ φοβ. X) τὸ$_1$ E [corr in τῷ E^x] [V]X : τῷ SUWy X[1] ins C[2] *Si^l* : om C (κινεῖσθαι ἢ οἰδεῖν [V] : κινεῖσθαι sscr γρ. οἰδεῖν C) **9** τοιοῦτον **o**—y *Ph^c 157, 10* : τι τοιοῦτον y ἴσως ἢ Ey, [ins ἢ] C : ἢ ἴσως SU[V]X *Ph^c 157, 10* : ἢ ἴσως ἢ [ἢ$_2$ ins] W **11** ποῖα C[V]y *cf Th 27, 32* : ποῖαι E [ι ins, fort E[1], radendo semideletum], UWX *Ph^c 157, 13* : ποῖος S τὸ δὴ SU : τὸ δὲ EC [sscr δὴ C[2]], [V] WXy *Si^l Ph^c 156, 11* **12** (λέγει S : λέγῃ Cy) **15** (τούτῳ E) δὲ μὴ **o** [ε in ras E[2]], *Si^l So 27, 39* : δ' οὐχ corr y[2] *Ph^l* (τῇ κινήσει W, sscr ς et ως W[2]) οὔσης **b** *Si^l Ph^l D* : om E [ins E[2]] *Ph^l R* **16** (ὁτὲ δ' ἀπ' ἐκείνης om E, mg add E[2]) (δ' ὡς ἀπ' W) (μὲν$_2$ ins E[3]) **17** (τῶνδε X *Si^l*) (ἐπεὶ E) **19** οὖσα **b** *Ph^l ^{c}159, 31 R Th 29, 25* : om E [ins E[3]] *Ph^l ^{c}159, 31 So 28, 23* ἐφθείρετ' ἂν **o** *Th 29, 25 ; 30, 6* : ἂν ἐφθείρετο *Ph^l ^{c}160, 1 . 29 So 28, 24* **20** νῦν δ' ἴσως ὅπερ E : νῦν δ' ὅπερ *Th^c 29, 26 ; 30, 6* : νυνὶ δ' ὥσπερ [om περ W] **b** *Ph^l* [νῦν] *cf So 28, 31* **21** (λάβῃ y) **22** (βλέπῃ [V] : βλέποιεν X) ὥσπερ καὶ **o**—X *Th^c 29, 28 ; 30, 8 cf Ph^p 222, 10* : ὥσπερ ὁ X *Si^c 60, 20 So 28, 33* : ὡς ὁ *Ph^l D* [om ὁ *R*]

τῷ τὴν ψυχήν τι πεπονθέναι, ἀλλ' ἐν ᾧ, καθάπερ ἐν μέθαις καὶ νόσοις· καὶ τὸ νοεῖν δὴ καὶ τὸ θεωρεῖν μαραίνεται ἄλλου τινὸς ἔσω φθειρομένου, αὐτὸ δὲ ἀπαθές ἐστιν. τὸ δὲ διανοεῖσθαι καὶ φιλεῖν ἢ μισεῖν οὐκ ἔστιν ἐκείνου πάθη, ἀλλὰ τουδὶ τοῦ ἔχοντος ἐκεῖνο, ᾗ ἐκεῖνο ἔχει. διὸ καὶ τούτου φθειρομένου οὔτε μνημονεύει οὔτε φιλεῖ· οὐ γὰρ ἐκείνου ἦν, ἀλλὰ τοῦ κοινοῦ, ὃ ἀπόλωλεν· ὁ δὲ νοῦς ἴσως θειότερόν τι καὶ ἀπαθές ἐστιν.

ὅτι μὲν οὖν οὐχ οἷόν τε κινεῖσθαι τὴν ψυχήν, φανερὸν ἐκ τούτων· εἰ δ' ὅλως μὴ κινεῖται, δῆλον ὡς οὐδ' ὑφ' ἑαυτῆς. πολὺ δὲ τῶν εἰρημένων ἀλογώτατον τὸ λέγειν ἀριθμὸν εἶναι τὴν ψυχὴν κινοῦνθ' ἑαυτόν· ὑπάρχει γὰρ αὐτοῖς ἀδύνατα πρῶτα μὲν τὰ ἐκ τοῦ κινεῖσθαι συμβαίνοντα, ἴδια δ' ἐκ τοῦ
λέγειν αὐτὴν ἀριθμόν. πῶς γὰρ χρὴ νοῆσαι μονάδα κινου- 409 a
μένην, καὶ ὑπὸ τίνος, καὶ πῶς, ἀμερῆ καὶ ἀδιάφορον οὖσαν; εἰ γάρ ἐστι κινητικὴ καὶ κινητή, διαφέρειν δεῖ. ἔτι δ' ἐπεί φασι κινηθεῖσαν γραμμὴν ἐπίπεδον ποιεῖν, στιγμὴν δὲ γραμμήν, καὶ αἱ τῶν μονάδων κινήσεις γραμμαὶ ἔσονται· ἡ γὰρ στιγμὴ μονάς ἐστι θέσιν ἔχουσα· ὁ δ' ἀριθμὸς τῆς

23 τὴν ψ. τι πεπονθέναι E [αι suppl E^2], CUX *So 28, 35*: τὴν ψ. πεπονθέναι S *Th^c 29, 29; 30, 12*: πεπονθέναι τι τὴν ψ. [V]Wy: τὴν ψ. πεπονθέναι τι *Ph^l c164, 1* **25** (ἀλλ' οὔ S) ἔσω **o** *Si^c 60, 22. 30 Ph^l c164, 8 So 29, 2*: εἴσω *Th^c 29, 30; 30, 14* **26** καὶ φ. **o** *Si^l Th^c 29, 31; 101, 19*: ἢ φ. *Ph^l So 29, 4* τουδὶ **o** *Ph^l p164, 19 Th^c 29, 32; 101, 19*: τοῦδε *Si^l* **27** (ἐκεῖνο₁] sscr -ου W^1 sed exp vid) (ᾗ] οὐ [V]) (ἔχειν S) **30** (οὖν om S) φανερὸν **o**: ἐμφανέστερον *Si^l* **31** (εἰ ... κινεῖται om C, suppl mg C^2) (αὐτῆς X: ἑ ins E^3) **32** (ἀλογώτερον y) **34** πρῶτα **o**—X *Si^c 65, 17 So 29, 16*: πρῶτον X *Th 31, 7* ἴδια E [sed accent E^3] *Si^c 65, 17 Ph^p 165, 31 So 29, 16*: ἰδία **b** *Th 31, 7*

409 a 1 (αὐτὸν S) **3** εἰ C [corr in ἢ C^x] SU[V]y *cf Th 31, 10*: ἢ E [ἡ corr in εἰ E^2], WX *So 29, 21* κινητή ECSU[V]y *So 29, 21*: κινεῖται WX

ψυχῆς ἤδη πού ἐστι καὶ θέσιν ἔχει. ἔτι δ' ἀριθμοῦ μὲν ἐὰν ἀφέλῃ τις ἀριθμὸν ἢ μονάδα, λείπεται ἄλλος ἀριθμός· τὰ δὲ φυτὰ καὶ τῶν ζῴων πολλὰ διαιρούμενα ζῇ καὶ δοκεῖ τὴν αὐτὴν ψυχὴν ἔχειν τῷ εἴδει. δόξειε δ' ἂν οὐθὲν διαφέρειν μονάδας λέγειν ἢ σωμάτια μικρά· καὶ γὰρ ἐκ τῶν Δημοκρίτου σφαιρίων ἐὰν γένωνται στιγμαί, μόνον δὲ μένῃ τὸ ποσόν, ἔσται τι ἐν αὐτῷ τὸ μὲν κινοῦν τὸ δὲ κινούμενον, ὥσπερ ἐν τῷ συνεχεῖ· οὐ γὰρ διὰ τὸ μεγέθει διαφέρειν ἢ μικρότητι συμβαίνει τὸ λεχθέν, ἀλλ' ὅτι ποσόν. διὸ ἀναγκαῖον εἶναί τι τὸ κινῆσον τὰς μονάδας. εἰ δ' ἐν τῷ ζῴῳ τὸ κινοῦν ἡ ψυχή, καὶ ἐν τῷ ἀριθμῷ, ὥστε οὐ τὸ κινοῦν καὶ τὸ κινούμενον ἡ ψυχή, ἀλλὰ τὸ κινοῦν μόνον. ἐνδέχεται δὲ δὴ πῶς μονάδα ταύτην εἶναι; δεῖ γὰρ ὑπάρχειν τινὰ αὐτῇ διαφορὰν πρὸς τὰς ἄλλας. στιγμῆς δὲ μοναδικῆς τίς ἂν εἴη διαφορὰ πλὴν θέσις; εἰ μὲν οὖν εἰσὶν ἕτεραι αἱ ἐν τῷ σώματι μονάδες καὶ αἱ στιγμαί, ἐν τῷ αὐτῷ ἔσονται αἱ μονάδες·

7 (ἀριθμοῦ, ἀ- in ras 3—4 litt E[3]) **8** (ἀφέλῃ τε τις S) **10** (αὐτὴν om E) ψυχὴν ἔχειν EX : ἔχειν ψυχὴν **b**—X *Th 31, 19* (δόξει X) (ἂν] ἂν οὖν C) οὐθὲν ECSUXy *Si[l] Ph[l]* : ὁμοίως μηδὲν [V]W **11** (λέγων y) σωμάτια **o** *Ph[l] D So 30, 5 BC* : σώματα *Si[l] A Ph[l] R Th 31, 21 So 30, 5 A* μικρὰ E[V]WXy *Si[l] Ph[l] So 30, 5 B* : σμικρὰ CSU *Th 31, 21 So 30, 5 AC* **12** σφαιρίων E [ι₂ eras], SU[V]y *cf Si[p] 64, 13 . 16* : σφαιρῶν CWX *Th 31, 21 So 31, 12 . 18* (γένηται στιγμὴ y) μένει [V] *cf Si[c] 64, 9* : μείνῃ W **14** συνεχεῖ ESU[V]X *cf Ph[p] 167, 24* : μεγέθει CWy *So 30, 10* **15** σμικρότητι **b** *Th 31, 25 So 30, 11* ante συμβαίνει add τοῦτο Wy **16** κινῆσον **o**—y *So 30, 15* : κινῆσαν y *Si[l]* (ἡ δ' X) **17** καὶ τὸ ἐν τῷ S, [eras τὸ] CU, τὸ add E[2], del E[x] τὸ₂ EC[V] : om SUWXy *cf So 30, 17* **18** δὲ ECU, ins W[2] *Ph[l] cf Th 31, 27* : om S[V]WXy **19** ταύτην ECS[V]Wy : αὐτὴν UX *Ph[l]* τινὰ αὐτῇ EC [αὐτῆς ut v, eras σ], UX *Ph[l]* : τινὰ αὐτῆς S : αὐτῇ τινα [V]Wy **20** (διαφορὰν . . . εἴη om S) (στιγμῇ δὲ μοναδικῇ X, corr X[3]) (εἴη] ἢ E) **22** καὶ αἱ E [eras, in ras ἢ E[3]], X *Ph[l] c170, 8 Dt* [καὶ *R*] : καὶ **b**—X *Si[l]*

καθέξει γὰρ χώραν στιγμῆς. καίτοι τί κωλύει ἐν τῷ αὐτῷ εἶναι, εἰ δύο, καὶ ἀπείρους; ὧν γὰρ ὁ τόπος ἀδιαίρετος, καὶ αὐτά. εἰ δ' αἱ ἐν τῷ σώματι στιγμαὶ ὁ ἀριθμὸς ὁ τῆς ψυχῆς, ἢ εἰ ὁ τῶν ἐν τῷ σώματι στιγμῶν ἀριθμὸς ἡ ψυχή, διὰ τί οὐ πάντα ψυχὴν ἔχουσι τὰ σώματα; στιγμαὶ γὰρ ἐν ἅπασι δοκοῦσιν εἶναι καὶ ἄπειροι. ἔτι δὲ πῶς οἷόν τε χωρίζεσθαι τὰς στιγμὰς καὶ ἀπολύεσθαι τῶν σωμάτων, εἴ γε μὴ διαιροῦνται αἱ γραμμαὶ εἰς στιγμάς;

5 Συμβαίνει δέ, καθάπερ εἴπομεν, τῇ μὲν ταὐτὸ λέγειν τοῖς σῶμά τι λεπτομερὲς αὐτὴν τιθεῖσι, τῇ δ', ὥσπερ Δημόκριτος κινεῖσθαί φησιν ὑπὸ τῆς ψυχῆς, ἴδιον τὸ ἄτοπον. **409 b**
εἴπερ γάρ ἐστιν ἡ ψυχὴ ἐν παντὶ τῷ αἰσθανομένῳ σώματι, ἀναγκαῖον ἐν τῷ αὐτῷ δύο εἶναι σώματα, εἰ σῶμά τι ἡ ψυχή· τοῖς δ' ἀριθμὸν λέγουσιν, ἐν τῇ μιᾷ στιγμῇ πολλὰς στιγμάς, ἢ πᾶν σῶμα ψυχὴν ἔχειν, εἰ μὴ διαφέρων

23 κωλύει E [sscr σ E²], SUXy *Si*ᵖ *64, 31* *Ph*ˡ ᵖ*170, 29 D* *So 30, 27*: κωλύσει C[V]W *Ph*ᵖ *170, 29 Rt* *Th 31, 32* **24** (τρόπος y) **25** (αἱ om S) (στιγμαί εἰσιν ὁ y: ins εἰσὶν E³) (ὁ₁ eras X) ὁ₂ **b**: om E [ins E²] *Ph*ˡ ᵖ*171, 10* **26** (ἢ om [V]) (εἰ om *Ph*ˡ) ὁ τῶν E [ὁ in ἐκ corr E², iterum ὁ ante ἐκ ins E³] *Si*ᵖ *64, 37* *Ph*ᵖ *171, 12* *Th 31, 35* *So 30, 36*: ὁ ἐκ τῶν **b** *Ph*ˡ **28** (καὶ ἄπειροι εἶναι W) **29** στιγμὰς EC[V]WXy *Ph*ˡ *So 31, 1* *cf Ph*ᵖ *171, 1*: ψυχὰς SU, *cf Si*ᵖ *65, 6* **30** γε **b**: om E *Si*ᶜ *65, 7* *Ph*ˡ (εἰς τὰς στ. W) **31** δὲ **b** *Si*ˡ *Ph*ˡ ᶜ*173, 6* *So 31, 4*: δὲ καὶ E τῇ **o** *Ph*ˡ ᶜ*173, 6*: πῇ corr W² *Si*ˡ *Ph*ᵖ *172, 4* [qui et **32** πῇ δ' habent] **32** τι ESU[V]Xy *Si*ˡ *Ph*ˡ ᵖ*172, 5 Rt* *So 31, 5*: om CW [ins W²] *cf Ph*ᵖ *172, 5 D* *Th 32, 4* τιθεῖσι **o** *Si*ˡ *So 31, 5*: λέγουσι *Ph*ˡ ᵖ*172, 5. 19*

409ᵇ **1** (ἴδιον] sscr ἄλλο Cˣ: om S) (τὸ om X) **2** εἴπερ **b**: εἰ E [περ ins E²], *Ph*ˡ παντὶ **o** *So 31, 8*; ἅπαντι *Ph*ˡ σώματι E [exp E², del E³], SU[V]X *Ph*ˡ *So 31, 8*: om CW [sscr super αἰσθανομένω], y **3** (εἰ ex ἡ Eˣ) τι εἴη ἡ *Ph*ˡ **5** (εἰ corr E² ex ἡ)

τις ἀριθμὸς ἐγγίνεται καὶ ἄλλος τις τῶν ὑπαρχουσῶν ἐν τῷ σώματι στιγμῶν. συμβαίνει τε κινεῖσθαι τὸ ζῷον ὑπὸ τοῦ ἀριθμοῦ, καθάπερ καὶ Δημόκριτον αὐτὸ ἔφαμεν κινεῖν· τί γὰρ διαφέρει σφαίρας λέγειν μικρὰς ἢ μονάδας μεγάλας, ἢ ὅλως μονάδας φερομένας; ἀμφοτέρως γὰρ ἀναγκαῖον κινεῖν τὸ ζῷον τῷ κινεῖσθαι ταύτας. τοῖς δὴ συμπλέξασιν εἰς τὸ αὐτό κίνησιν καὶ ἀριθμὸν ταῦτά τε συμβαίνει καὶ πολλὰ ἕτερα τοιαῦτα· οὐ γὰρ μόνον ὁρισμὸν ψυχῆς ἀδύνατον τοιοῦτον εἶναι, ἀλλὰ καὶ συμβεβηκός. δῆλον δ' εἴ τις ἐπιχειρήσειεν ἐκ τοῦ λόγου τούτου τὰ πάθη καὶ τὰ ἔργα τῆς ψυχῆς ἀποδιδόναι, οἷον λογισμούς, αἰσθήσεις, ἡδονάς, λύπας, ὅσα ἄλλα τοιαῦτα· ὥσπερ γὰρ εἴπομεν πρότερον, οὐδὲ μαντεύσασθαι ῥάδιον ἐξ αὐτῶν.

τριῶν δὲ τρόπων παραδεδομένων καθ' οὓς ὁρίζονται τὴν ψυχήν, οἱ μὲν τὸ κινητικώτατον ἀπεφήναντο τῷ κινεῖν ἑαυτό, οἱ δὲ σῶμα τὸ λεπτομερέστατον ἢ τὸ ἀσωματώτατον τῶν ἄλλων. ταῦτα δὲ

6 (τις$_2$ om X) **7** τῷ σώματι **b** : τοῖς σώμασι E τε ECVWy *Ph*[l]: δὲ UX : om S κινεῖσθαι τὸ ζῷον E [γρ. τὸ σῶμα E[3]], SUVX *Ph*[l]: τὸ ζῷον κινεῖσθαι W : τὸ σῶμα κινεῖσθαι Cy **8** καὶ ECVWXy *Ph*[l]: om SU αὐτὸ ἔφαμεν EX : ἔφαμεν αὐτὸ **b**—X *Ph*[l] **9** διαφέρει ESUVWX *Th 32, 9* : διαφέρειν y, [eras ν] C (λέγειν post μονάδας y) μικρὰς ECy *Th 32, 9 So 31, 14* : σμικρὰς **b**—Cy **11** (τῷ] τὸ S) ταύτας E *So 31, 16* : αὐτὰς **b** (δὲ V : δεῖ E, ει eras, in ras ῆ). **12** (εἰς τὸ αὐτὸ post ἀριθμὸν ponit et τε ante καὶ add *Ph*[l]: τε ins etiam W[2]) τε ECSUWy *Ph*[l] *Th 32, 12* : γε X : om V *So 31, 22* **13** τοιαῦτα **o**—V *Ph*[l] *Th 32,13* : om V *So 31, 22* **14** (δύνατον C, ins ἀ- C[3]) (τοιοῦτον ἀδύνατον X) **15** (ἐπιχειρήσοι V) **16** (λογισμού; ς ins E[2]) **17** (γὰρ om y) **18** μαντεύσασθαι EX *Th 32, 17 So 31, 28 cf Ph*[p] *174, 26 ; 175, 1* : μαντεύεσθαι **b**—X παραδεδομένων **o**—y *Si*[l] *So 31, 37* : δεδομένων y : ἀποδεδομένων *Ph*[l] **20** (τῷ] τὸ V) (ἑαυτῷ W) (τὸ] τι V) **21** (ἀσώματον Xy) (δὲ om X)

τίνας ἀπορίας τε καὶ ὑπεναντιώσεις ἔχει, διεληλύθαμεν σχεδόν. λείπεται δ' ἐπισκέψασθαι πῶς λέγεται τὸ ἐκ τῶν στοιχείων αὐτὴν εἶναι. λέγουσι μὲν γάρ, ἵν' αἰσθάνηταί τε τῶν ὄντων καὶ ἕκαστον γνωρίζῃ, ἀναγκαῖον δὲ συμβαίνειν πολλὰ καὶ ἀδύνατα τῷ λόγῳ. τίθενται γὰρ γνωρίζειν τῷ ὁμοίῳ τὸ ὅμοιον, ὥσπερ ἂν εἰ τὴν ψυχὴν τὰ πράγματα τιθέντες. οὐκ ἔστι δὲ μόνα ταῦτα, πολλὰ δὲ καὶ ἕτερα, μᾶλλον δ' ἴσως ἄπειρα τὸν ἀριθμὸν τὰ ἐκ τούτων. ἐξ ὧν μὲν οὖν ἐστὶν ἕκαστον τούτων, ἔστω γινώσκειν τὴν ψυχὴν καὶ αἰσθάνεσθαι· ἀλλὰ τὸ σύνολον τίνι γνωριεῖ ἢ αἰσθήσεται; οἷον τί θεὸς ἢ ἄνθρωπος ἢ σὰρξ ἢ ὀστοῦν, ὁμοίως δὲ καὶ ἄλλο ὁτιοῦν τῶν συνθέτων. οὐ γὰρ ὁπωσοῦν ἔχοντα τὰ 410a
στοιχεῖα τούτων ἕκαστον, ἀλλὰ λόγῳ τινὶ καὶ συνθέσει, καθάπερ φησὶ καὶ Ἐμπεδοκλῆς τὸ ὀστοῦν·

ἡ δὲ χθὼν ἐπίηρος ἐν εὐστέρνοις χοάνοισιν
τὼ δύο τῶν ὀκτὼ μερέων λάχε νήστιδος αἴγλης,
τέσσαρα δ' Ἡφαίστοιο· τὰ δ' ὀστέα λευκὰ γένοντο.

22 τε ECSU : om VWXy *Ph*^c *175, 13* *So 32, 1* (ἔχει καὶ ὑπ. Wy) 23 (τὸ] τὰ E) 24 (μὲν om W) (ἵν' om E, ins E³) αἰσθάνηται E [αν eras], SUVX *Th 33, 2* *So 32, 3* : αἴσθηται CWy τε om VX, [eras ut v] y *Th 33, 2* *So 32, 3* 25 (γνωρίζειν S) 28 (τιθενται y, E³ [ex τιθέντες]) (πολλὰ δὲ καὶ ἕτερα om V) 30 (ἐστὶν om Wy) (τούτων om X) (ἔστω om CS, ins C²) (ἐγγιγνώσκειν C, ἐγ eras) 31 τίνι . . . ἢ ECSUVy *So 32, 10* : οὐ . . . οὐδ' WX (γνωρίσει V) 32 (ἢ τί ἄνθρ. S)

410a 1 ἄλλο ὁτιοῦν E : ὁτιοῦν ἄλλο **b** *So 32, 11* 2 τούτων **b** *Th 33, 10* *So 32, 11* : των E [ins τού E²] 3 καὶ ECSUWy *So 32, 14* *cf Si*^p *68, 3* *Ph*^p *176, 5* : om VX *Th 33, 11* 4 (δὲ χθὼν] δεχθρῶν E [ρ eras]) 5 τὼ Steinhart : τῶν **o**—W *Ph*^l ^c*178, 1* *Th 33, 13* [τὰ *Z*] *So 32, 16* : τὰ E³ : τὰς W [sscr τῶν] μερέων E [eras, in ras μοιράων E³], CSX, [corr in μοιράων] U *Ph*^c *178, 1* *D* [μορέων *D*¹, μοιράων *t*, μοιρῶν *R*] *Th 33, 13* *So 32, 16* : μοιράων VWy *Ph*^l 6 λευκὰ γένοντο CVy *Ph*^l *D* : λεύκ' ἐγένοντο E [λευκὰ ἐγ. eras ἐ], SUWX *Ph*^l *R* *Th 33, 14* *So 32, 17*

οὐδὲν οὖν ὄφελος ἐνεῖναι τὰ στοιχεῖα ἐν τῇ ψυχῇ, εἰ μὴ καὶ οἱ λόγοι ἐνέσονται καὶ ἡ σύνθεσις· γνωριεῖ γὰρ ἕκαστον τὸ ὅμοιον, τὸ δ' ὀστοῦν ἢ τὸν ἄνθρωπον οὐθέν, εἰ μὴ καὶ ταῦτ' ἐνέσται. τοῦτο δ' ὅτι ἀδύνατον, οὐθὲν δεῖ λέγειν· τίς γὰρ ἂν ἀπορήσειεν εἰ ἔνεστιν ἐν τῇ ψυχῇ λίθος ἢ ἄνθρωπος; ὁμοίως δὲ καὶ τὸ ἀγαθὸν καὶ τὸ μὴ ἀγαθόν· τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ τῶν ἄλλων. ἔτι δὲ πολλαχῶς λεγομένου τοῦ ὄντος (σημαίνει γὰρ τὸ μὲν τόδε τι, τὸ δὲ ποσὸν ἢ ποιὸν ἢ καὶ τινα ἄλλην τῶν διαιρεθεισῶν κατηγοριῶν) πότερον ἐξ ἁπάντων ἔσται ἡ ψυχὴ ἢ οὔ; ἀλλ' οὐ δοκεῖ κοινὰ πάντων εἶναι στοιχεῖα. ἆρ' οὖν ὅσα τῶν οὐσιῶν, ἐκ τούτων μόνον; πῶς οὖν γινώσκει καὶ τῶν ἄλλων ἕκαστον; ἢ φήσουσιν ἑκάστου γένους εἶναι στοιχεῖα καὶ ἀρχὰς ἰδίας, ἐξ ὧν τὴν ψυχὴν συνεστάναι; ἔσται ἄρα ποσὸν καὶ ποιὸν καὶ οὐσία. ἀλλ' ἀδύνατον ἐκ τῶν τοῦ ποσοῦ στοιχείων οὐσίαν εἶναι καὶ μὴ ποσόν. τοῖς δὴ λέγουσιν ἐκ πάντων ταῦτά τε καὶ τοιαῦθ' ἕτερα συμβαίνει. ἄτοπον δὲ καὶ τὸ φάναι μὲν ἀπαθὲς εἶναι τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου, αἰσθάνεσθαι δὲ τὸ ὅμοιον τοῦ ὁμοίου καὶ γινώσκειν τῷ ὁμοίῳ τὸ ὅμοιον· τὸ δ' αἰσθάνεσθαι πάσχειν τι καὶ κι-

7 ἐνεῖναι E [ἐν eras] : εἶναι **b** *So 32, 35* (ἐν om X) (οἱ om V) **9** ἢ ECVWXy *So 33, 2* : καὶ SU (εἰ corr E^3 ex ἢ E^2, quod in ras) (μὴν [sed ν eras] E) **10** (δετιοτι E, $τι_1$ exp E^2) (οὐδὲ X) ἂν ECSUVW *Th 33, 19* : om Xy *So 33, 3* **11** ἔνεστιν ECSVy *So 33, 3* : ἐστιν UWX **13** περὶ **o**—X : ἐπὶ X *Si^c 68, 28 cf So 33, 5* **14** ἢ ποιὸν **o** : τὸ δὲ ποιὸν *Ph^l So 33, 14* **16** (ἐστὶν X) (κοινὰ] τινὰ S) **17** στοιχεῖα **b** y *Th 33, 30* [add τὰ *C*] *So 33, 18* : τὰ στ. E, y [τὰ del] μόνον E [sscr -ων E^3] : μόνων **b** **18** (γ. ὅτι καὶ y [eras ὅτι] C) **19** (ἰδίως S : ἰδίας, ας in ras E^3) **20** (ἄρα καὶ π. W) (ἐκ om V) **21** (εἶναι οὐσίαν V) (δὲ V) **22** ταῦτά τε καὶ om V) (τε om C) **23** (δὲ ins W) (ἀπαθὲς μὲν y) **25** (τὸ ὅμοιον τῷ ὁμ. *Si^l*) τὸ δ' om V : τὸ γὰρ V^2X *cf Ph^p 180, 5* τι **b** *Si^l Ph^p 181, 4* : τε E *So 33, 33* καὶ κινεῖσθαι CSVWy *Ph 181, 4 So 33, 33* : κ. κινεῖν E : κ. ποιεῖν UX : ἢ ποιεῖν καὶ κινεῖσθαι *Si^l cf Si^p 69, 26 . 28*

νεῖσθαι τιθέασιν· ὁμοίως δὲ καὶ τὸ νοεῖν τε καὶ γινώσκειν. πολλὰς δ' ἀπορίας καὶ δυσχερείας ἔχοντος τοῦ λέγειν, καθάπερ Ἐμπεδοκλῆς, ὡς τοῖς σωματικοῖς στοιχείοις ἕκαστα γνωρίζεται, καὶ πρὸς τὸ ὅμοιον, μαρτυρεῖ τὸ νῦν λεχθέν· ὅσα γάρ ἐστιν ἐν τοῖς τῶν ζῴων σώμασιν ἁπλῶς γῆς, οἷον ὀστᾶ νεῦρα τρίχες, οὐθενὸς αἰσθάνεσθαι δοκεῖ, ὥστ' οὐδὲ τῶν **410 b** ὁμοίων· καίτοι προσῆκεν. ἔτι δ' ἑκάστῃ τῶν ἀρχῶν ἄγνοια πλείων ἢ σύνεσις ὑπάρξει· γνώσεται μὲν γὰρ ἓν ἕκαστον, πολλὰ δ' ἀγνοήσει· πάντα γὰρ τἆλλα. συμβαίνει δ' Ἐμπεδοκλεῖ γε καὶ ἀφρονέστατον εἶναι τὸν θεόν· μόνος γὰρ τῶν στοιχείων ἓν οὐ γνωριεῖ, τὸ νεῖκος, τὰ δὲ θνητὰ πάντα· ἐκ πάντων γὰρ ἕκαστον. ὅλως τε διὰ τίν' αἰτίαν οὐχ ἅπαντα ψυχὴν ἔχει τὰ ὄντα, ἐπειδὴ πᾶν ἤτοι στοιχεῖον ἢ ἐκ στοιχείου

26 (δὲ om V) τε **b**—V *Si¹ cf So 33, 33 :* τι V : om E *cf Th 34, 7* τὸ γινώσκειν *Si¹ cf Th 34, 7* **29** μαρτυρεῖ δὲ τὸ *Si^c 70, 8* λεχθὲν ECSUWX *Si^c 70, 8 Ph^c 180, 23 ; 181, 7 :* λεχθησόμενον U² V y [corr ex λεχθέν], sscr X² *cf So 34, 6* **30** ἐστιν EWX *Ph^c 180, 25 So 34, 7 :* ἔνεστιν CSUVy τῶν ESUWXy *So 34, 7 :* om CV

410 b 1 (ὥστ'] ὥσπερ V) **2** (προσῆκον τὰ νεῦρα καὶ τὰς τρίχας γεηρὰ ὄντα τῶν ὁμοίων αἰσθάνεσθαι. ἔτι W) **3** πλείων [corr in πλεῖον] E, [corr fort ex πλέον] V *Ph¹ D Th 34, 11 :* πλέον **b**—V *Ph¹ R So 34, 11* (σύνθεσις V, σύνεσις V¹) ὑπάρξει ESUVy, C [ξ in ras, eras χ] *Th 34, 12 So 34, 11 :* ὑπάρχει WX *Ph¹* ἕκαστον ECSUy : ἑκάστη WX, V[sscr -ον] *Ph¹ So 34, 11* **4** πάντα γὰρ τἆλλα **b** *Ph¹ Th 34, 12 cf So 34, 12 :* om E, suppl mg E³ δ'₂ **o**—S *Ph¹ Th 34, 13 :* δὲ καὶ S *So 34, 13* **5** γε om y *Ph¹ Th 34, 13 So 34, 13* (ἀφρονέστερον y, (τὸν] γὰρ V, corr V²) **6** ἓν **o**—C *Ph¹ :* om C *So 34, 14* γνωριεῖ **b** *Si^p 70, 18 Ph¹ ^p 181, 27 Th 34, 15 So 34, 14 :* γνωρίζει E **7** τε EVWXy, *Th 34, 17 :* δὲ CSUW^x *Si¹ Ph¹* **8** πᾶν **b** *Si^p 70, 22 So 34, 16 cf Th 34, 18 :* om E, ins E² ἤτοι στ. EU : ἢ στ. **b**—U *cf Th 34, 18 So 34, 16* (ἐκ στοιχείου] ἐκ στοιχείων καὶ στοιχείων ἢ W : ἐκ τῶν στοιχείων καὶ στοιχείων X)

ἑνὸς ἢ πλειόνων ἢ πάντων; ἀναγκαῖον γάρ ἐστιν ἕν τι γινώσκειν ἢ τινὰ ἢ πάντα. ἀπορήσειε δ' ἄν τις καὶ τί ποτ' ἐστὶ τὸ ἑνοποιοῦν αὐτά· ὕλῃ γὰρ ἔοικε τά γε στοιχεῖα· κυριώτατον γὰρ ἐκεῖνο τὸ συνέχον ὅ τί ποτ' ἐστίν· τῆς δὲ ψυχῆς εἶναί τι κρεῖττον καὶ ἄρχον ἀδύνατον· ἀδυνατώτερον δ' ἔτι τοῦ νοῦ· εὔλογον γὰρ τοῦτον εἶναι προγενέστατον καὶ κύριον κατὰ φύσιν. τὰ δὲ στοιχεῖά φασι πρῶτα τῶν ὄντων εἶναι.

πάντες δέ, καὶ οἱ διὰ τὸ γνωρίζειν καὶ αἰσθάνεσθαι τὰ ὄντα τὴν ψυχὴν ἐκ τῶν στοιχείων λέγοντες αὐτήν, καὶ οἱ τὸ κινητικώτατον, οὐ περὶ πάσης λέγουσι ψυχῆς. οὔτε γὰρ τὰ αἰσθανόμενα πάντα κινητικά· φαίνεται γὰρ εἶναί τινα μόνιμα τῶν ζῴων κατὰ τόπον· καίτοι δοκεῖ γε ταύτην μόνην τῶν κινήσεων κινεῖν ἡ ψυχὴ τὸ ζῷον. ὁμοίως δὲ καὶ ὅσοι τὸν νοῦν καὶ τὸ αἰσθητικὸν ἐκ τῶν στοιχείων ποιοῦσιν· φαίνεται γαρ τά τε φυτὰ ζῆν οὐ μετέχοντα φορᾶς οὐδ' αἰσθήσεως,

9 ἢ ἐκ πλ. V, ἐκ ins E[x], *So 34, 17* ἕν τι ECVy *So 34, 18* : ἓν SUX : ἢ ἓν W **11** αὐτὰ **o** *Ph*[l] : ταῦτα *Si*[l] τά γε στ. ECVy *Ph*[l] *R* : τὰ στ. SUWX *Ph*[l] *D* κυριώτατον **o** *So 34, 21* : κύριον *Ph*[l] **12** γὰρ **b** *So 34, 22* : δὲ E [sed eras, in ras γὰρ E[2]] *Ph*[l] (δὲ om S) **13** εἶναί τι κρεῖσσον EWX *Ph*[c] *183, 17* : εἶναί τι κρεῖττον CSVy *Si*[l] *So 34, 22* : κρεῖττον εἶναί τι U (ἀρχὴ S) (δέ τι W) **14** εὔλογον EU *Si*[c] *71, 4* *Ph*[l] *R* *p182, 21* *Th 34, 25* *So 34, 24* : εὐλογώτατον CSVy *Ph*[l] *D* : εὐλογώτερον W : ἄλογον X (γὰρ] γε S : γὰρ ἄρα X) τοῦτον εἶναι EUW, [τοῦτο] X : εἶναι τοῦτον CSVy *Ph*[l] *D*, [τοῦτο] *R* προγενέστατον **o**—X *Ph*[l] *Th 34, 25* : προγενέστερον X *So 34, 25* cf *Si*[p] *71, 4* κύριον **o**—W *Ph*[l] *So 34, 25* : κυριώτατον W *Th 34, 26* **15** (φασὶ] ταυτὶ V) **16** γνωρίζειν καὶ αἰσθάνεσθαι **o**—y *Ph*[l] *D* *So 34, 31* : αἰσθάνεσθαι καὶ γνωρίζειν y *Ph*[l] *R* τὰ ὄντα τὴν ψυχὴν EWX *Ph*[l] *D* : τὰ κατὰ τὴν ψυχὴν V : τὴν ψυχὴν τὰ ὄντα CSUy *Ph*[l] *R* *So 34, 31* **17** λέγοντες] ποιοῦντες *Ph*[l] *So 34, 31* **18** πάσης E *Si*[p] *71, 33. 36* *Ph*[l] *p184, 15* *Th 34, 27* : ἁπάσης **b** *So 34, 32* **19** (ἅπαντα X) (γὰρ] γε S) (μόρια S [sed ἑστῶτα mg]) **20** γε δοκεῖ X *Ph*[l] (γε om V [ras 2 litt] : ras corr ex τε E) (μόνην ταύτην y) **21** (ψυχὴ καὶ τὸ V) **23** (φθορᾶς S)

καὶ τῶν ζῴων πολλὰ διάνοιαν οὐκ ἔχειν. εἰ δέ τις καὶ ταῦτα παραχωρήσειε καὶ θείη τὸν νοῦν μέρος τι τῆς ψυχῆς, ὁμοίως δὲ καὶ τὸ αἰσθητικόν, οὐδ' ἂν οὕτω λέγοιεν καθόλου περὶ πάσης ψυχῆς οὐδὲ περὶ ὅλης οὐδεμιᾶς. τοῦτο δὲ πέπονθε καὶ ὁ ἐν τοῖς Ὀρφικοῖς ἔπεσι καλουμένοις λόγος· φησὶ γὰρ τὴν ψυχὴν ἐκ τοῦ ὅλου εἰσιέναι ἀναπνεόντων, φερομένην ὑπὸ τῶν ἀνέμων. οὐχ οἷόν τε δὴ τοῖς φυτοῖς τοῦτο συμβαίνειν οὐδὲ **411a** τῶν ζῴων ἐνίοις, εἴπερ μὴ πάντα ἀναπνέουσιν· τοῦτο δὲ λέληθε τοὺς οὕτως ὑπειληφότας. εἴ τε δεῖ τὴν ψυχὴν ἐκ τῶν στοιχείων ποιεῖν, οὐθὲν δεῖ ἐξ ἁπάντων· ἱκανὸν γὰρ θάτερον μέρος τῆς ἐναντιώσεως ἑαυτό τε κρίνειν καὶ τὸ ἀντικείμενον. καὶ γὰρ τῷ εὐθεῖ καὶ αὐτὸ καὶ τὸ καμπύλον γινώσκομεν· κριτὴς γὰρ ἀμφοῖν ὁ κανών, τὸ δὲ καμπύλον οὔθ' ἑαυτοῦ οὔτε τοῦ εὐθέος. καὶ ἐν τῷ ὅλῳ δέ τινες αὐτὴν μεμεῖχθαί φασιν, ὅθεν ἴσως καὶ Θαλῆς ᾠήθη πάντα πλήρη θεῶν εἶναι.

24 (ἔχει W) **25** (τι om C) **26** (οὐκ ἂν y) οὕτοι *Th 35, 26* (λέγει V [corr vid e λέγοιεν, ο sscr]) καθόλου ESWX *Si^c 72, 7 Th 35, 15* : om CUVy *cf Ph^p 186, 3 . 5 So 35, 12* (περὶ τῆς π. V) **27** οὐδεμιᾶς C *Th 35, 16 cf Ph^p 186, 6 . 11* : οὐδὲ μιᾶς EUWXy, [eras accent sup ε] V : οὐδὲ περὶ μιᾶς S *Si^c 72, 8 So 35, 12 cf Ph^p 186, 14 . 18* (τὸ αὐτὸ *Ph^l*) **28** ἔπεσι καλουμένοις E : ἔπ. καλούμενος X *So 35, 17* : ἔπεσιν ᾀδόμενος U : καλουμένοις ἔπεσι CVy *Ph^l cf Th 35, 17* : καλούμενος ἔπεσι W : ἔπεσι S (λόγο.ς E, eras littera ante ς) **29** (ὅλου E^2 ex λόγου) **30** δὴ E [δὲ corr E^x], CSUVy : δὲ WX *So 35, 19* (τοῖς φυτοῖς om [ras 4 litt] V)

411a 1 (εἴπερ μὴ] μηδὲ y) δὲ **b** *Si^c 72, 14 Ph^l Th 35, 20* : δὴ E **2** (τὸ οὕτως S) εἴ τε CSUy *Ph^l* : εἴ γε X [eras γε corr in εἰ δὲ X^2] : εἴπερ δὲ V, W [del δὲ], E^x [corr ex εἴ τε δὲ *cf Si^l A*], C^2 (δεῖ] δὴ S, [corr in δεῖ] V) **3** (δεῖ] δὴ S) **4** (καὶ ἑαυτὸ κρίνειν y) **5** (καὶ$_2$ om X) **8** ἴσως **o**—V *Si^l c73, 21 Ph^l* : om V *So 36, 10* (θαλλῆς SU, [exp alterum λ] W) πάντα πλήρη **o** *Si^c 73, 23 Th 35, 29 So 36, 11 cf Ph^p 188, 16* : πλήρη πάντα *Si^l A Ph^l*

τοῦτο δ' ἔχει τινὰς ἀπορίας· διὰ τίνα γὰρ αἰτίαν ἐν μὲν τῷ ἀέρι ἢ τῷ πυρὶ οὖσα ἡ ψυχὴ οὐ ποιεῖ ζῷον, ἐν δὲ τοῖς μεικτοῖς, καὶ ταῦτα βελτίων ἐν τούτοις εἶναι δοκοῦσα; ἐπιζητήσειε δ' ἄν τις καὶ διὰ τίν' αἰτίαν ἡ ἐν τῷ ἀέρι ψυχὴ τῆς ἐν τοῖς ζῴοις βελτίων ἐστὶ καὶ ἀθανατωτέρα. συμβαίνει δ' ἀμφοτέρως ἄτοπον καὶ παράλογον· καὶ γὰρ τὸ λέγειν ζῷον τὸ πῦρ ἢ τὸν ἀέρα τῶν παραβολωτέρων ἐστί, καὶ τὸ μὴ λέγειν ζῷα ψυχῆς ἐνούσης ἄτοπον. ὑπολαβεῖν δ' ἐοίκασιν εἶναι τὴν ψυχὴν ἐν τούτοις, ὅτι τὸ ὅλον τοῖς μορίοις ὁμοειδές. ὥστ' ἀναγκαῖον αὐτοῖς λέγειν καὶ τὴν ψυχὴν ὁμοειδῆ τοῖς μορίοις εἶναι, εἰ τῷ ἀπολαμβάνεσθαί τι τοῦ περιέχοντος ἐν τοῖς ζῴοις ἔμψυχα τὰ ζῷα γίνεται. εἰ δ' ὁ μὲν ἀὴρ διασπώμενος ὁμοειδής, ἡ δὲ ψυχὴ ἀνομοιομερής, τὸ μέν τι αὐτῆς ὑπάρξει δῆλον ὅτι, τὸ δ' οὐχ ὑπάρξει. ἀναγκαῖον οὖν αὐτὴν ἢ ὁμοιομερῆ εἶναι ἢ μὴ ἐνυπάρχειν ἐν ὁτῳοῦν μορίῳ τοῦ παντός.

9 τίνα γὰρ ESUVWX *Th 35,36* : τίνα μὲν γὰρ CVy, ins μὲν E² μὲν EUVWX *Th 35,37 So 36,19* : om CSy **10** ἢ τῷ EVWXy *cf Th 35,37* [καὶ τῷ] : ἢ ἐν τῷ CSU (ἡ om V) **11** (ταῦτα] τοι X) βελτίων **b** *So 36,20* : βέλτιον E εἶναι ἐν τούτοις Sy *So 36,20* **12** δ' EWX *Si^l So 36,20 cf Ph^p 189,4* : γὰρ CSUVy E² (καὶ om y) **13** (δὲ καὶ ἀμφ. y) **14** (καὶ παράλογον . . . **16** ἄτοπον om y, mg y¹) **15** παραβολωτέρων *Si^l Ph^p 189,11 D Th 36,2* : παραλογωτέρων ECVy *cf Ph^p 189,11 R Th 36,2 C* : παραλόγων SUWX : «ἐμπλήκτων» *So 36,24* (ἐστί om CVy) **17** εἶναι τὴν ψ. E *Si^l So 36,25* : τὴν ψ. εἶναι CVWy *Ph^l Th 36,4* : τὴν ψ. SUX ὅτι ESUWX *Th 36,5* : ἐπεὶ CVy *Ph^l So 36,26* (ὅλον ἐν τοῖς E) **18** καὶ **o** *Ph^l* : om *Si^l* **19** εἶναι **b** E² *Ph^l* : om E *Si^l* εἰ ECWy *Si^l Ph^l R* [ἢ *D*] : ἐν S : εἰ ἐν UX : εἴπερ ἐν V (τὸ C) ἀπολαμβάνεσθαι EVWX *Si^l Ph^l p190,16 . 30 So 36,30* : ἀπολαμβάνειν CSUy *cf Ph^p 189. 30* (περιέχοντος ἀέρος ἐν V : ὑπερέχοντος y) **20** τὰ EWX *Si^l Ph^l p190,31* : om CSUVy *cf So 36,30* (γίγνονται E, -εται E²) (διασπώμενον ὁμοειδὲς U) **23** $ἢ_1$ **b** *Si^p 76,5 Ph^l R* : om E *cf Ph^l D* [**22** αὐτῇ]

φανερὸν οὖν ἐκ τῶν εἰρημένων ὡς οὔτε τὸ γινώσκειν ὑπάρχει τῇ ψυχῇ διὰ τὸ ἐκ τῶν στοιχείων εἶναι, οὔτε τὸ κινεῖσθαι αὐτὴν καλῶς οὐδ' ἀληθῶς λέγεται. ἐπεὶ δὲ τὸ γινώσκειν τῆς ψυχῆς ἐστὶ καὶ τὸ αἰσθάνεσθαί τε καὶ τὸ δοξάζειν, ἔτι δὲ τὸ ἐπιθυμεῖν καὶ βούλεσθαι καὶ ὅλως αἱ ὀρέξεις, γίνεται δὲ καὶ ἡ κατὰ τόπον κίνησις τοῖς ζῴοις ὑπὸ τῆς ψυχῆς, ἔτι δ' αὔξη τε καὶ ἀκμὴ καὶ φθίσις, πότερον ὅλῃ τῇ ψυχῇ τούτων ἕκαστον ὑπάρχει, καὶ πάσῃ νοοῦμέν τε καὶ 411b αἰσθανόμεθα καὶ κινούμεθα καὶ τῶν ἄλλων ἕκαστον ποιοῦμέν τε καὶ πάσχομεν, ἢ μορίοις ἑτέροις ἕτερα; καὶ τὸ ζῆν δὴ πότερον ἔν τινι τούτων ἐστὶν ἑνὶ ἢ καὶ ἐν πλείοσιν ἢ πᾶσιν, ἢ καὶ ἄλλο τι αἴτιον; λέγουσι δή τινες μεριστὴν αὐτήν, καὶ ἄλλῳ μὲν

25 (τῇ ins C^x) (τῶν om W) (οὔτε δὲ τὸ V [δὲ ex διὰ corr]) **26** οὐδ' ἀληθῶς **b** *Ph*[l] *So 37, 8* : om E, ins mg E[2] ἐπεὶ δὲ **o**—Cy *Si*[l] *Ph*[c] *195, 24D So 37, 9* : ἐπειδὴ C [corr ἡ in ε], η sscr E[2], corr E[3] *Ph*[l] *D* [c]*195, 24 Rt* : ἐπειδὴ δὲ y *Ph*[l] *R Th 36, 27* **27** τῆς ESUVWX *Ph*[l] [c]*195, 24 So 37, 9* : om Cy *Si*[l] τὸ₂ EVWX : om CSUy *Ph*[l] *So 37, 9* **28** δὲ τὸ ECVy : δὲ καὶ τὸ SUWX *cf So 37, 10* [om δὲ] (ante βούλεσθαι eras τὸ C) βούλεσθαι E [ευ ins E[2]], SW *Si*[p] *77, 27 Ph*[p] *195, 20 Th 36, 36* : βουλεύεσθαι CUVXy *So 37, 10 cf Th 36, 29* (αἱ om C) (ὄρεξις C) **29** (καὶ om y, C [ins C^x]) ἡ **b** *Th 36, 29 So 37, 10* : om E τῆς ESUWX *Th 36, 30* : om CVy *So 37, 11* **30** (ἔτι δὲ καὶ y) αὔξη E [σις ins E[2]], *So 37, 12* : αὔξησις **b** *Th 36, 30* (τε om V)

411[b] **1** (ὑπάρχειν X [sed ν eras]) πασι E [ι rad corr ex η], y [corr in -η] (καὶ πάσῃ καὶ V) **2** καὶ κινούμεθα EVW *Si*[c] *77, 29 So 37, 13* : καὶ κινοῦμεν X : om CSUy (τε om U) **3** δὴ **o**—V *So 37, 16* : δὲ V *Ph*[l] *Th 36, 37* (ἔν τινι] ἑνὶ y) **4** ἑνὶ ἢ **b**—y *cf Th 36, 37* : ἢ ἑνὶ ἢ E [sed ἑνὶ ἢ del E[3]] : ἢ y *cf So 37, 17* ἐν ECUVy *So 37, 17* : om SWX πᾶσιν E : καὶ πᾶσιν CVWXy, ins καὶ E[2] : καὶ ἐν πᾶσιν SU *So 37, 18* **5** δὴ EWX *Si*[l] : δὲ CSUVy sscr E[2]W[2] *Ph*[l] (αὐτὴν μεριστὴν y) καὶ ESUVWX *Si*[l] *Ph*[l] : εἶναι καὶ Cy ἄλλῳ CSUX, corr y, sscr V[1]W[2] *Si*[l] [p]*78, 18 Ph*[l] *Th 37, 4 So 37, 27* : ἄλλο EVWy *cf So 37, 27C*

νοεῖν ἄλλῳ δὲ ἐπιθυμεῖν. τί οὖν δή ποτε συνέχει τὴν ψυχήν, εἰ μεριστὴ πέφυκεν; οὐ γὰρ δὴ τό γε σῶμα· δοκεῖ γὰρ τοὐναντίον μᾶλλον ἡ ψυχὴ τὸ σῶμα συνέχειν· ἐξελθούσης γοῦν διαπνεῖται καὶ σήπεται. εἰ οὖν ἕτερόν τι μίαν αὐτὴν ποιεῖ, ἐκεῖνο μάλιστ' ἂν εἴη ψυχή. δεήσει δὲ πάλιν κἀκεῖνο ζητεῖν πότερον ἓν ἢ πολυμερές. εἰ μὲν γὰρ ἕν, διὰ τί οὐκ εὐθέως καὶ ἡ ψυχὴ ἕν; εἰ δὲ μεριστόν, πάλιν ὁ λόγος ζητήσει τί τὸ συνέχον ἐκεῖνο, καὶ οὕτω δὴ πρόεισιν ἐπὶ τὸ ἄπειρον. ἀπορήσειε δ' ἄν τις καὶ περὶ τῶν μορίων αὐτῆς, τίν' ἔχει δύναμιν ἕκαστον ἐν τῷ σώματι. εἰ γὰρ ἡ ὅλη ψυχὴ πᾶν τὸ σῶμα συνέχει, προσήκει καὶ τῶν μορίων ἕκαστον συνέχειν τι τοῦ σώματος. τοῦτο δ' ἔοικεν ἀδυνάτῳ· ποῖον γὰρ μόριον ἢ πῶς ὁ νοῦς συνέξει, χαλεπὸν καὶ πλάσαι. φαίνεται δὲ καὶ τὰ φυτὰ διαιρούμενα ζῆν καὶ τῶν ζῴων ἔνια τῶν ἐντόμων, ὡς τὴν αὐτὴν ἔχοντα ψυχὴν τῷ εἴδει, εἰ καὶ μὴ ἀριθμῷ· ἑκάτερον γὰρ τῶν μορίων αἴσθησιν

6 ἄλλῳ CSUX, corr V^1y sscr W^2: ἄλλο EVW *cf So* 37,27 C^2 **7** τό γε [eras τό] E: γε τὸ CV: τὸ SUWXy (μᾶλλον τοὐναντίον W) **8** (ἐξελθοῦσα W) γοῦν **o**—y *Si*^{c} *78,23 Th 37,11*: γὰρ δὴ y: γὰρ *Ph*^{c} *208,28 So 37,31* **9** διαπνεῖται **o**—y *Si*^{c} *78,23 Ph*^{c} *197,2 Th 37,12*: διαπνεῖ τε y *So 37,31* (αὐτὴν om W) **10** (ἐκεῖνο δὲ μ. V) εἴη ψυχή ESUWX *Th 37,13 So 37,36 cf Ph*^{p} *197,20*: εἴη ἡ ψυχή CVy **12** καὶ ἡ ψ. ἕν E *Th 37,14*: καὶ τὴν ψυχὴν ἕν SUWX *cf Ph*^{p} *197,22* [inde *So 37,17*]: καὶ τὴν ψ. ἓν εἶναι Cy: ἓν εἶναι καὶ τὴν ψ. V **13** (ἐκεῖνα [rad corr in ἐκεῖνο] E) **15** δύναμιν ἕκαστον ECUWXy *Si*^{l} *Ph*^{l} *So 38,22 AC*: ἕκαστον δύναμιν SV *So 38,22B* (τῷ om *Si*^{l}*A*) (εἰ] ἡ W) ἡ ὅλη **o**—VW *So 38,23*: ὅλη ἡ W *Th 37,32 cf Ph*^{p} *199,14*: ὅλη V **17** (τούτῳ E) ἀδύνατον W^x *Ph*^{c} *199,23* **18** συνέξει **b**—V [συνάξει y] *Ph*^{c} *199,25; 241,35 Th 37.34 So 38,29*: συνέχει EV *cf Si*^{p} *95,31* **19** (καὶ$_1$ om S) **20** (ψυχὴν om V) **21** (εἰ om y) (καὶ μὴ τῷ V: μὴ καὶ E) γὰρ EV *Th 38,6 cf Ph*^{p} *200,12*: γοῦν CSXy *So 39,3*: οὖν UW

ἔχει καὶ κινεῖται κατὰ τόπον ἐπί τινα χρόνον. εἰ δὲ μὴ διατελοῦσιν, οὐθὲν ἄτοπον· ὄργανα γὰρ οὐκ ἔχουσιν ὥστε σῴζειν τὴν φύσιν. ἀλλ' οὐδὲν ἧττον ἐν ἑκατέρῳ τῶν μορίων ἅπαντ' ἐνυπάρχει τὰ μόρια τῆς ψυχῆς, καὶ ὁμοειδῆ εἰσιν ἀλλήλοις καὶ τῇ ὅλῃ, ἀλλήλων μὲν ὡς οὐ χωριστὰ ὄντα, τῆς δ' ὅλης ψυχῆς ὡς διαιρετῆς οὔσης. ἔοικε δὲ καὶ ἡ ἐν τοῖς φυτοῖς ἀρχὴ ψυχή τις εἶναι· μόνης γὰρ ταύτης κοινωνεῖ καὶ ζῷα καὶ φυτά· καὶ αὕτη μὲν χωρίζεται τῆς αἰσθητικῆς ἀρχῆς, αἴσθησιν δ' οὐθὲν ἄνευ ταύτης ἔχει.

23 (τὸ ἄτοπον y) **25** ἐνυπάρχειν WXy, [eras ν] C (μόρια ins C²) ὁμοειδεῖς ὁμοειδῆ E³ εἰσὶν ἀλλήλαις **o**—W *Si*ᵖ *79, 28 : 79, 31 Ph*ᶜ *200, 24* : ὁμοειδῆ εἰσὶν ἀλλήλοις W *cf Th 38, 12 So 39, 9* **26** ἀλλήλων ECSUXy *Si*ᶜ *80, 17 Ph*ᶜ *200, 25 . 29 cf Th 38, 15* : ἀλλήλοις W *So 39, 10* : ἀλλήλαις V, sscr W² ὡς οὐ **o**—X *Si*ᶜ *80, 17 M Ph*ᶜ *200, 25 . 29 So 39, 10* : οὐ *Si*ᶜ *80, 17 Aa* : ὡς *Si*ᶜ *V* : ὡς οὐδὲ X **27** (ὡς οὐ διαιρετῆς W [sed οὐ exp]) **28** ἀρχὴ ψυχή EVWX *Si*ˡ *Ph*ˡ *R* ᵖ*202, 5 cf Th 38, 22 So 39, 30* : ἀρχὴ SU, [sscr ψυχὴ] y, [ins ψυχὴ ante ἀρχὴ C²] C *Ph*ˡ *D* (μόνη X : μόγις V [sed corr in μόνης V²]) (ταύτη X) **29** καὶ ζ. **b** *Si*ᵖ *80, 26 cf So 39, 32* : καὶ τὰ ζ. E *cf Th 38, 24* [καὶ τὰ ζ. καὶ τὰ φ.] αὐτή X *Ph*ˡ *cf Si*ᵖ *89, 27* **30** (αἰσθητῆς X [sscr -ικῆς X²]) (ἔχειν S)

ΑΡΙΣΤΟΤΕΛΟΥΣ

ΠΕΡΙ ΨΥΧΗΣ

Β̃.

412a Τὰ μὲν δὴ ὑπὸ τῶν πρότερον παραδεδομένα περὶ ψυχῆς εἰρήσθω· πάλιν δ' ὥσπερ ἐξ ὑπαρχῆς ἐπανίωμεν, πειρώμενοι διορίσαι τί ἐστι ψυχὴ καὶ τίς ἂν εἴη κοινότατος λόγος αὐτῆς. λέγομεν δὴ γένος ἕν τι τῶν ὄντων τὴν οὐσίαν, ταύτης δὲ τὸ μὲν ὡς ὕλην, ὃ καθ' αὑτὸ μὲν οὐκ ἔστι τόδε τι, ἕτερον δὲ μορφὴν καὶ εἶδος, καθ' ἣν ἤδη λέγεται τόδε τι, καὶ τρίτον τὸ ἐκ τούτων. ἔστι δ' ἡ μὲν ὕλη δύναμις, τὸ δ' εἶδος ἐντελέχεια, καὶ τοῦτο διχῶς, τὸ μὲν ὡς ἐπιστήμη, **1**

412a 3 τὰ μὲν δὴ [οὖν *Ph*^{l} *207, 16* : om *Ph*^{l} *202, 2*] ὑπὸ τῶν πρότερον [προτέρων Vy *Si*^{l} *Ph*^{l} *bis*] παραδεδομένα περὶ ψυχῆς εἰρήσθω [corr in εἴρηται E^3 *cf Th 38, 35*]· πάλιν . . . ἐπανίωμεν ECVy *Si*^{c} *82, 15 Ph*^{l} *bis Th 38, 34* : ἐπεὶ δὲ [ἐπειδὴ P *So 40, 2*] τὰ παραδεδομένα περὶ ψυχῆς παρὰ τῶν ἄλλων, ἐφ' ὅσον [ὅσων X] ἕκαστος ἀπεφήνατο [τῶν add E_a P *So 40, 3*] πρότερον [πρῶτον W] εἴρηται σχεδὸν, νῦν ὥσπερ ἐξ ἀρχῆς [ὑπαρχῆς S *So 40, 3*] πάλιν ἐπανίωμεν SUWXPE$_a$ *So 40, 2* **5** τίς ἂν εἴη ECVyPE$_a$ *Th 39, 1 So 40, 4* : τί [τίς WS^2] ἐστιν SUWX κοινότατος ESCVyPE$_a$ *Si*^{p} *82, 18 Th 39, 1 So 40, 4* : κοινὸς UWX **6** λέγομεν . . . οὐσίαν ☛ E_a (δὲ V) γένος ἕν τι ECUVyP *Alex ἀπ*^{l} *74, 32 Si*^{l} *Th 39, 3 So 40, 17* : ἕν τι γένος SX : γένος post ὄντων W τῶν ὄντων **o** *Si*^{l} *Th 39, 3 cf So 40, 17* : τῶν ἄλλων ὄντων *Alex ἀπ*^{l} *74, 33* cf E_a **7** ὡς **o** *Th 39, 4 So 40, 18* : om *Ph*^{l} μὲν **o**—V *So 40, 19* om V *Ph*^{l} **8** μορφὴ V *Alex ἀπ*^{l} *75, 1* **9** (ἔτι X, sscr ἔστι X^2) δύναμις **o**—y *Si*^{l} *So 40, 24* : δυνάμει y W^{x}E$_a$ *Ph*^{p} *211, 14. 1 cf Th 34, 7. 10 Si*^{p} *84, 2* **10** (διττῶς W)

τὸ δ' ὡς τὸ θεωρεῖν. οὐσίαι δὲ μάλιστ' εἶναι δοκοῦσι τὰ σώματα, καὶ τούτων τὰ φυσικά· ταῦτα γὰρ τῶν ἄλλων ἀρχαί. τῶν δὲ φυσικῶν τὰ μὲν ἔχει ζωήν, τὰ δ' οὐκ ἔχει· ζωὴν δὲ λέγομεν τὴν δι' αὐτοῦ τροφήν τε καὶ αὔξησιν καὶ φθίσιν. ὥστε πᾶν σῶμα φυσικὸν μετέχον ζωῆς οὐσία ἂν εἴη, οὐσία δ' οὕτως ὡς συνθέτη. ἐπεὶ δ' ἐστὶ καὶ σῶμα τοιόνδε, ζωὴν γὰρ ἔχον, οὐκ ἂν ⟨ἐν⟩είη τὸ σῶμα ψυχῇ· οὐ γάρ ἐστι τῶν καθ' ὑποκειμένου τὸ σῶμα, μᾶλλον δ' ὡς ὑποκείμενον καὶ ὕλη. ἀναγκαῖον ἄρα τὴν ψυχὴν οὐσίαν εἶναι ὡς εἶδος σώματος φυσικοῦ δυνάμει ζωὴν ἔχοντος. ἡ δ' οὐσία ἐντελέχεια. τοιούτου ἄρα σώματος ἐντελέχεια. αὕτη δὲ λέγεται διχῶς, ἡ μὲν ὡς ἐπιστήμη, ἡ δ' ὡς τὸ θεωρεῖν. φανερὸν οὖν ὅτι ὡς ἐπιστήμη· ἐν γὰρ τῷ ὑπάρχειν τὴν ψυχὴν καὶ ὕπνος καὶ ἐγρήγορσίς ἐστιν,

11 ὡς τὸ θεωρεῖν SUVWXE$_a$ *Si*^{l} *Ph*^{l} *Th 39, 21:* ὡς θεωρία yP *So 40, 32 :* θεωρεῖν EC (εἶναι μάλιστα P) **12** (ἄλλων αἱ ἀρχαὶ S) **14** λέγομεν o—y P *Si*^{c} *85, 19 Ph*^{l} *:* λέγω y P *So 41, 5* αὐτοῦ P *So 41, 5 :* ἑαυτοῦ *Si*^{c} *85, 19 Aa Th 39, 31 :* αὑτοῦ o—VP *Si*^{c} *86, 4* ^{p}*85, 29 Ph*^{l} ^{p}*212, 30; 213, 9 :* αὐτῆς V (τε post αὔξησιν SX : om U) **15** (ζωῆς καὶ οὐσία P) οὐσία ἂν εἴη ECVWyP *So 41, 10 cf Th 39, 32 :* om SUX, suppl S^{2}U^2 **16** (δ'$_1$ om X) (σύνθετος U^2 ex συνθετή) ἐπεὶ δὲ SUVWXP *Ph*^{l} *So 41, 14 :* ἐπειδὴ E [corr in ἐπεὶ δὲ E^3], Cy *cf Th 39, 33* καὶ σῶμα τοιόνδε EC [eras τὸ ante σῶμα], y [τοιονδί] : σῶμα τοιόνδει [ultima litt lineolis deleta] P : σῶμα καὶ τοιόνδε *Ph*^{l} : σῶμα καὶ τοιονδὶ τοῦτο UVWX : καὶ σῶμα καὶ τοιονδὶ τοῦτο S : «σῶμα καὶ τοιόνδε σῶμα» *So 41, 14* **17** ζωὴν γὰρ ἔχον o : τὸ ζωὴν ἔχον *Ph*^{l} *So 41, 15 cf Th 39, 33* ἐνείη et ψυχῇ de coniectura scripsi : εἴη et ψυχή o τὸ ECVXyP *Ph*^{l} ^{c}*215. 11. 18. 22. 32 cf So 41. 18 :* om SUW [ins W^2] *cf Th 40, 4* ψυχή ECP *cf So 41, 19 :* ἡ ψυχή SUVWXy *Ph*^{l} ^{c}*215, 11. 18. 22 cf Th 40. 4* eadem atque *Ph* legisse vid *Alex ap Ph 215, 24* **21** (τοιούτου . . . ἐντελέχεια om V) **24** (ἔσται V)

ἀνάλογον δ' ἡ μὲν ἐγρήγορσις τῷ θεωρεῖν, ὁ δ' ὕπνος τῷ ἔχειν καὶ μὴ ἐνεργεῖν· προτέρα δὲ τῇ γενέσει ἐπὶ τοῦ αὐτοῦ ἡ ἐπιστήμη. διὸ ἡ ψυχή ἐστιν ἐντελέχεια ἡ πρώτη σώματος φυσικοῦ δυνάμει ζωὴν ἔχοντος. τοιοῦτο δέ, ὃ ἂν ᾖ ὀργανι-
412b κόν. ὄργανα δὲ καὶ τὰ τῶν φυτῶν μέρη, ἀλλὰ παντελῶς ἁπλᾶ, οἷον τὸ φύλλον περικαρπίου σκέπασμα, τὸ δὲ περικάρπιον καρποῦ· αἱ δὲ ῥίζαι τῷ στόματι ἀνάλογον· ἄμφω γὰρ ἕλκει τὴν τροφήν. εἰ δή τι κοινὸν ἐπὶ πάσης ψυχῆς δεῖ λέγειν, εἴη ἂν ἐντελέχεια ἡ πρώτη σώματος φυσικοῦ ὀργανικοῦ. διὸ καὶ οὐ δεῖ ζητεῖν εἰ ἓν ἡ ψυχὴ καὶ τὸ σῶμα, ὥσπερ οὐδὲ τὸν κηρὸν καὶ το σχῆμα, οὐδ' ὅλως τὴν ἑκάστου ὕλην καὶ τὸ οὗ ἡ ὕλη· τὸ γὰρ ἓν καὶ τὸ εἶναι ἐπεὶ πλεοναχῶς, τὸ κυρίως ἡ ἐντελέχειά ἐστιν.

καθόλου μὲν οὖν εἴρηται τί ἐστιν ἡ ψυχή· οὐσία γὰρ ἡ κατὰ τὸν λόγον. τοῦτο δὲ τὸ τί ἦν εἶναι τῷ τοιῳδὶ σώματι, καθάπερ εἴ τι τῶν ὀργάνων φυσικὸν ἦν σῶμα, οἷον πέλεκυς· ἦν μὲν γὰρ ἂν

26 δὲ SUVWXP *Si^l Ph^l So* ***41, 32*** : δὴ ECy (τῆς γενέσεως P) **27** (ἡ₁ om y) ἡ₂ ECVyP : om SUWX *cf So* ***42, 6*** **28** (φυσικοῦ ὀργανικοῦ δυνάμει X, ὀργανικοῦ add S²) τοιοῦτο ECUy *Ph^l* : τοιοῦτον SVWX : τοιούτου P *So* ***42, 7*** (ὃ ἂν] ὅταν W)

412b 3 (ἡ δὲ ῥίζα V) **4** δή U [corr ex δὲ], VWX *Si^l Ph^l* *c* ***37, 15*** ; *205, 15 ; 207, 1 Ph^p in phys* ***344, 4*** *Th* ***42, 13*** *So* ***42, 25*** : δέ ECSy (κοινὸν] καὶ V) **5** ἐντελέχεια ἡ πρώτη **o**—WX *Th* ***42, 14*** *So* ***42, 25*** : ἡ πρώτη ἐντελέχεια WX (τοῦ σώματος, sed τοῦ eras V) (ὀργανικοῦ φυσικοῦ S) **6** (καὶ₁ om V *So* ***42, 26 B***) (ψυχὴ κατὰ τὸ εἶδος καὶ V) **8** ἡ om SXP *So* ***42, 27*** πλεοναχῶς SUWXP *cf Si^p* ***92, 1*** *Th* ***42, 17*** : πλεοναχῶς λέγεται ECVy *So* ***43, 5*** ἡ **o**—EC *cf Si^c* ***92, 3***, *So* ***43, 8*** : ἡ: E ἡ C *cf Ph* ***218, 33*** **10** ἡ₁ **o** *cf Ph^p* ***220, 19*** : om *Si^l Ph^l cf So* ***43, 9*** (τὸν om S suppl S²) **11** καθάπερ . . . **12** σῶμα ☛ P **12** (ἦν φυσικὸν V) πέλεκυς ☛ P μὲν ECy : om SUVWXP *Ph^c* ***220, 34*** *So* ***43, 15*** (γὰρ om X)

τὸ πελέκει εἶναι ἡ οὐσία αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦτο· χωρισθείσης δὲ ταύτης οὐκ ἂν ἔτι πέλεκυς ἦν, ἀλλ' ἢ ὁμωνύμως. νῦν δ' ἔστι πέλεκυς· οὐ γὰρ τοιούτου σώματος τὸ τί ἦν εἶναι καὶ ὁ λόγος ἡ ψυχή, ἀλλὰ φυσικοῦ τοιουδὶ ἔχοντος ἀρχὴν κινήσεως καὶ στάσεως ἐν ἑαυτῷ. θεωρεῖν δὲ καὶ ἐπὶ τῶν μερῶν δεῖ τὸ λεχθέν. εἰ γὰρ ἦν ὁ ὀφθαλμὸς ζῷον, ψυχὴ ἂν ἦν αὐτοῦ ἡ ὄψις· αὕτη γὰρ οὐσία ὀφθαλμοῦ ἡ κατὰ τὸν λόγον. ὁ δ' ὀφθαλμὸς ὕλη ὄψεως, ἧς ἀπολιπούσης οὐκέτ' ὀφθαλμός, πλὴν ὁμωνύμως, καθάπερ ὁ λίθινος καὶ ὁ γεγραμμένος. δεῖ δὴ λαβεῖν τὸ ἐπὶ μέρους ἐφ' ὅλου τοῦ ζῶντος σώματος· ἀνάλογον γὰρ ἔχει ὡς τὸ μέρος πρὸς τὸ μέρος, οὕτως ἡ ὅλη αἴσθησις πρὸς τὸ ὅλον σῶμα τὸ αἰσθητικόν, ᾗ τοιοῦτον. ἔστι δὲ οὐ τὸ ἀποβεβληκὸς τὴν ψυχὴν τὸ δυνάμει ὂν ὥστε ζῆν, ἀλλὰ τὸ ἔχον· τὸ δὲ σπέρμα καὶ ὁ καρπὸς τὸ δυνάμει τοιονδὶ σῶμα. ὡς μὲν

13 τὸ SUVX [sscr τῶ], P *Ph^c 220, 34 So 43, 15 :* τῶ ECW [sscr τὸ W¹]: αὐτῷ y πελέκει similia ☞ P (ψ. ἐστὶ τοῦτο W) (τούτω V) χωρισθείσης . . . **14** ἦν ☞ P **14** δὲ EC U [in ras], VWy *cf Th 42, 23 :* γὰρ SX (αὐτῆς S) (ἂν om V) (ἦν] εἶναι y) **15** ἔστι scripsi : ἐστὶ **o** **16** τοιουδὶ **o** *So 43, 23 :* τοῦ *Alex ἀπ¹ 76, 14 Ph^c 221, 7* **17** ἑαυτῷ ECVyP *Ph^c 221, 8 :* σύτῷ SU *Alex ἀπ¹ 76, 15 :* αὐτῷ WX θεωρεῖν . . . **18** λεχθέν ☞ P **18** (ἦν ὁ om S) **19** (ἡ ψυχὴ W) ψ. ἂν αὐτοῦ ἦν V *Ph^c 221, 31 :* ἦν ἂν ψ. αὐτοῦ *Ph^c 220, 7 :* ἦν ἂν τούτου ψ. P (ἦν om X) **20** ἀπολιπούσης *Si^p 92, 33 . 35 Th 43, 1* [ἀπολειπούσης Q], *So 43, 33B :* ἀπολειπούσης [sscr ι WX] **o** *So 43, 33AC* **21** οὐκέτι ECVyP *Th 43, 1 cf Si^p 93, 32* [οὐκέτι ἐστὶν], *So 43, 33* [οὐκέτι ἔσται]: οὐκ ἔστιν SUWX ὁμωνύμως **o**—EC *Th 43, 2 cf So 43, 34 :* ὁμώνυμος EC καθάπερ . . . **23** σώματος ☞ P (λίθος SX) **22** δὴ E [in δὲ corr E³], CSUWy *Th 43, 2 cf Si^p 94, 1 :* δὲ VX *Ph^c 221, 32* (λαβεῖν] λέγειν S, λαβεῖν sscr S²) (τὸ ἐπὶ μέρους om y) **24** οὕτως ECSy *Si^p 94, 2 Ph^p 221, 36 :* om UVWXP *So 44. 1* (ὅλον σῶμα] μέρος y) **27** τοιονδὶ **o** *Ph^l 222, 23 :* τοιόνδε *Alex ἀπ¹ 76, 25*

οὖν ἡ τμῆσις καὶ ἡ ὅρασις, οὕτω καὶ ἡ ἐγρήγορσις ἐντελέ-
413 a χεια, ὡς δ᾽ ἡ ὄψις καὶ ἡ δύναμις τοῦ ὀργάνου, ἡ ψυχή· τὸ δὲ σῶμα τὸ δυνάμει ὄν· ἀλλ᾽ ὥσπερ ὀφθαλμὸς ἡ κόρη καὶ ἡ ὄψις, κἀκεῖ ἡ ψυχὴ καὶ τὸ σῶμα ζῷον. ὅτι μὲν οὖν οὐκ ἔστιν ἡ ψυχὴ χωριστὴ τοῦ σώματος, ἢ μέρη τινὰ αὐτῆς, εἰ μεριστὴ πέφυκεν, οὐκ ἄδηλον· ἐνίων γὰρ ἡ ἐντελέχεια τῶν μερῶν ἐστὶν αὐτῶν. οὐ μὴν ἀλλ᾽ ἔνιά γε οὐθὲν κωλύει, διὰ τὸ μηθενὸς εἶναι σώματος ἐντελεχείας. ἔτι δὲ ἄδηλον εἰ οὕτως ἐντελέχεια τοῦ σώματος ἡ ψυχὴ ὥσπερ πλωτὴρ πλοίου. τύπῳ μὲν οὖν ταύτῃ διωρίσθω καὶ ὑπογεγράφθω περὶ ψυχῆς.

Ἐπεὶ δ᾽ ἐκ τῶν ἀσαφῶν μὲν φανερωτέρων δὲ γίγνε- 2
ται τὸ σαφὲς καὶ κατὰ τὸν λόγον γνωριμώτερον, πειρατέον πάλιν οὕτω γ᾽ ἐπελθεῖν περὶ αὐτῆς· οὐ γὰρ μόνον τὸ ὅτι δεῖ τὸν ὁριστικὸν λόγον δηλοῦν, ὥσπερ οἱ πλεῖστοι τῶν ὅρων

28 τμῆσις o—P Si^{l} *p94, 21* Ph^{c} *223, 8*: πρίσις P *Th 43, 14* καὶ$_2$ ECVyP Si^{l} Ph^{c} *223, 8* *Th 43, 14*: om SUWX

413 a 1 (ἡ$_1$ om V) 2 ὀφθαλμὸς ESUWyP Ph^{c} *221, 22* *cf Th 43, 19*: ὁ ὀφθαλμὸς CX, V [eras ut v ὁ] Si^{p} *94, 22* *So 44, 25* 3 ζῷον ECVP *So 44, 27*: τὸ ζῷον SUWXy *cf* Si^{p} *94, 23* *Th 43, 20* ὅτι μὲν ... 5 ἄδηλον ☞ P 4 (οὖν om y) 5 (τινὰ om W) ἡ o Si^{l} Ph^{c} *225, 11 . 16*: om Si^{c} *96, 3* 6 (οὐ μὴν om X) 7 (οὐδὲ X) (κωλύει εἶναι διὰ V) διὰ ... ἐντελεχείας ☞ P μηθενὸς ... σώματος ἐντελεχείας ECUVW [cf P] Si^{c} *96, 3* Ph^{p} *224, 1 . 26*: μηδὲν ... σ. ἐ. X: οὐδὲν ... σ. ἐ. S: μηδενὸς ... σώματος ἐντελέχεια y: μηδενὶ σώματι ἐντελέχειαν Si^{l}*A* 8 (ἔστι W) δὲ SUVWX Si^{l} Ph^{l} *c193, 35*: τε ECy: om P 9 τύπῳ ... 10 ψυχῆς ☞ P (οὖν om W) (ταῦτα sscr E^{3}) 11 (μὲν om X) (μὲν τῇ φύσει W sed τῇ φύσει del W^{x}) 12 τὸν o—V Si^{l} *c96, 35* Ph^{l} *c230, 10*: om V Ph^{c} *230, 5* *p226, 7* 13 οὕτω γ᾽ ἐπελθεῖν ECVWyP *So 45, 12*: οὕτως ἐπανελθεῖν SUXC^{x} Si^{p} *97, 6* Ph^{c} *230, 6* *p230, 14*: οὕτως ἐπελθεῖν Si^{l} *c97, 3* 14 τὸν ... δηλοῦν ☞ P

14 ὅρων ... 413 b 25 δυνάμεως desunt in y, excisis foliis duobus

λέγουσιν, ἀλλὰ καὶ τὴν αἰτίαν ἐνυπάρχειν καὶ ἐμφαίνεσθαι· νῦν δ' ὥσπερ συμπεράσμαθ' οἱ λόγοι τῶν ὅρων εἰσίν· οἷον τί ἐστιν ὁ τετραγωνισμός; τὸ ἴσον ἑτερομήκει ὀρθογώνιον εἶναι ἰσόπλευρον. ὁ δὲ τοιοῦτος ὅρος λόγος τοῦ συμπεράσματος. ὁ δὲ λέγων ὅτι ἐστὶν ὁ τετραγωνισμὸς μέσης εὕρεσις, τοῦ πράγματος λέγει τὸ αἴτιον. λέγομεν οὖν ἀρχὴν λαβόντες τῆς σκέψεως, διωρίσθαι τὸ ἔμψυχον τοῦ ἀψύχου τῷ ζῆν. πλεοναχῶς δὲ τοῦ ζῆν λεγομένου, κἂν ἕν τι τούτων ἐνυπάρχῃ μόνον, ζῆν αὐτό φαμεν, οἷον νοῦς, αἴσθησις, κίνησις καὶ στάσις ἡ κατὰ τόπον, ἔτι κίνησις ἡ κατὰ τροφὴν καὶ φθίσις τε καὶ αὔξησις. διὸ καὶ τὰ φυόμενα πάντα δοκεῖ ζῆν· φαίνεται γὰρ ἐν αὐτοῖς ἔχοντα δύναμιν καὶ ἀρχὴν τοιαύτην, δι' ἧς αὔξησίν τε καὶ φθίσιν λαμβάνουσι κατὰ τοὺς ἐναντίους τόπους· οὐ γὰρ ἄνω μὲν αὔξε-

17 τί **o**—X *Th* **44**, *4* *So* **47**, *1* : τίς X : ὅτι *Ph*[l]   ὁ ECSUWX : ὁ om VP *Ph*[l] *Th* **44**, *4* *So* **47**, *1*   **18** ὁ δὲ . . . λόγος ☞ P   λόγος SUWX *Ph*[p] *232, 18* : om ECVP   **19** ὅτι **o**—VP *Th* **44**, *6* : τί VP *So* **47**, *3*   ὁ₂ **o**—XP : om XP *Th* **44**, *6* *So* **47**, *3*   μέσης EUWX *Th* **44**, *6* : μέσου C : ὁ ἐκ μέσης [sed ὁ ἐκ exp] S : ὅτι μέσης VP *So* **47**, *3*   **20** λέγομεν **o**—CP *Si*[l] *Ph*[c] *233, 18* *Th* **44**, *7* *So* **47**, *31* *Si*[c] *in phys* *286, 5* : λέγωμεν CP *Alex* *ἀπ*[1] *77, 2*   ἀρχὴν **o** *Si*[l] *Ph*[c] *233, 18* *Th* **44**, *7* *Si*[c] *in phys* *286, 5* : τὴν ἀρχὴν *Alex* *ἀπ*[1] *77, 2*   ἀρχὴν . . . . **32** θνητοῖς ☞ P   λαβόντες ante **21** διωρίσθαι WX *Alex* *ἀπ*[1] *77, 2* **21** (τῆς om SX)   σκέψεως ECV *Si*[l] *Ph*[c] *233, 18* *Si*[c] *in phys* *286, 5* cf P *So* **47**, *31* : σκέψεως τοῦ πράγματος SUWX *Alex* *ἀπ*[1] *77, 2*   **22** ζῆν **o** *Si*[l] *Ph*[c] *233, 19* *Th* **44**, *9* : ζῆν [ζωὴν *B*[2]*S*[2]*a*] ἔχοντι σώματι *Alex* *ἀπ*[1] *77, 3*   **23** αὐτό φαμεν **o** *Ph*[l] : λέγομεν *Si*[l] : «αὐτὸ λέγομεν» *So* **47**, *34* **25** (καὶ om V)   φθίσις τε καὶ αὔξησις ECV : φθίσιν τε καὶ αὔξησιν SU. W [om τε], X cf P *So* **47**, *36*   (καὶ om W)   **26** (ἐν om X, suppl mg) αὑτοῖς UXyP : αὐτοῖς ECVW : αὐτῆς S sscr -οις S[2]   **28** (ἄνω μὲν] ἄνωθεν V)

ται, κάτω δ' οὔ. ἀλλ' ὁμοίως ἐπ' ἄμφω καὶ πάντη ὅσα ἐκτρέφεταί τε καὶ ζῇ διὰ τέλους, ἕως ἂν δύνηται λαμβάνειν τροφήν. | χωρίζεσθαι δὲ τοῦτο μὲν τῶν ἄλλων δυνατόν, τὰ δ' ἄλλα τούτου ἀδύνατον ἐν τοῖς θνητοῖς. φανερὸν δ' ἐπὶ τῶν φυομένων· οὐδεμία γὰρ αὐτοῖς ὑπάρχει δύναμις ἄλλη **413b** ψυχῆς, τὸ μὲν οὖν ζῆν διὰ τὴν ἀρχὴν ταύτην ὑπάρχει πᾶσι τοῖς ζῶσι, τὸ δὲ ζῷον διὰ τὴν αἴσθησιν πρώτως· καὶ γὰρ τὰ μὴ κινούμενα μηδ' ἀλλάττοντα τόπον, ἔχοντα δ' αἴσθησιν ζῷα λέγομεν καὶ οὐ ζῆν μόνον. αἰσθήσεως δὲ πρῶτον ὑπάρχει πᾶσιν ἁφή. ὥσπερ δὲ τὸ θρεπτικὸν δύναται χωρίζεσθαι τῆς ἁφῆς καὶ πάσης αἰσθήσεως, οὕτως ἡ ἁφὴ τῶν ἄλλων αἰσθήσεων. θρεπτικὸν δὲ λέγομεν τὸ τοιοῦτον μόριον τῆς ψυχῆς οὗ καὶ τὰ φυόμενα μετέχει· τὰ δὲ ζῷα πάντα φαίνεται τὴν ἁπτικὴν αἴσθησιν ἔχοντα· δι' ἣν δ' αἰτίαν ἑκάτερον τούτων συμβέβηκεν, ὕστερον ἐροῦμεν.

νῦν δ' ἐπὶ τοσοῦτον εἰρήσθω μόνον, ὅτι ἐστὶν ἡ ψυχὴ τῶν εἰρημένων τούτων ἀρχὴ καὶ τούτοις ὥρισται, θρεπτικῷ, αἰσθητικῷ, διανοητικῷ, κινήσει. πότερον δὲ τούτων ἕκαστόν ἐστι ψυχὴ ἢ μόριον ψυχῆς, καὶ εἰ μόριον, πότερον οὕτως ὥστ' εἶναι χωριστὸν

29 πάντη ὅσα ἐκτρέφεταί τε καὶ scripsi : πάντῃ ὅσα ἀεὶ τρέφεταί τε καὶ ECW : πάντη ἐκτρέφεταί τε καὶ SUX : πάντοσε καὶ τρέφεται καὶ V : πάντῃ et τρέφεται P *So 48, 26* **33** (δύναμις τούτοις ὑπάρχει W)

413b **1** πᾶσι τοῖς ζῶσι *Si^l Ph^l Th 44, 27 So 48, 18* : πᾶσι τοῖς ζώοις SU : παρὰ τοῖς ζώοις P : τοῖς ζώοις [-σι sscr X^1] πᾶσι X : τοῖς ζῶσι ECVW **2** καὶ γὰρ ... αἴσθησιν ☞ P **3** (αἴσθησιν δ' ἔχοντα V) **4** (ζῷα λέγομεν ante **3** ἔχοντα X) ζῆν μόνον. αἰσθήσεως ☞ P (ὑπάρχει πρῶτον πᾶσιν S: πᾶσιν ὑπάρχει πρῶτον X) **5** (δὲ] γὰρ X) **7** θρεπτικὸν ... **8** μετέχει ☞ P **8** φυόμενα ECVW : φυτὰ SUX (φαίνεται ἅπαντα X) **10** ἐπὶ **o** *Si^l So 48, 29* : om *Ph^l* **11** τῶν εἰρημένων τούτων **o** *Si^l* : πάντων τῶν εἰρημένων *Ph^l* **12** (αἰσθητικῷ] αὐξητικῷ V) **13** (ἐστιν ἡ ψυχὴ X : ante ψυχὴ eras vid ἡ V)

λόγῳ μόνον ἢ καὶ τόπῳ, περὶ μὲν τινῶν τούτων οὐ χαλεπὸν ἰδεῖν. ἔνια δὲ ἀπορίαν ἔχει. ὥσπερ γὰρ ἐπὶ τῶν φυτῶν ἔνια διαιρούμενα φαίνεται ζῶντα καὶ χωριζόμενα ἀπ' ἀλλήλων, ὡς οὔσης τῆς ἐν αὐτοῖς ψυχῆς ἐντελεχείᾳ μὲν μιᾶς ἐν ἑκάστῳ φυτῷ. δυνάμει δὲ πλειόνων, οὕτως ὁρῶμεν καὶ περὶ ἑτέρας διαφορὰς τῆς ψυχῆς συμβαῖνον ἐπὶ τῶν ἐντόμων ἐν τοῖς διατεμνομένοις· καὶ γὰρ αἴσθησιν ἑκάτερον τῶν μερῶν ἔχει καὶ κίνησιν τὴν κατὰ τόπον. εἰ δ' αἴσθησιν. καὶ φαντασίαν καὶ ὄρεξιν· ὅπου μὲν γὰρ αἴσθησις. καὶ λύπη τε καὶ ἡδονή. ὅπου δὲ ταῦτα. ἐξ ἀνάγκης καὶ ἐπιθυμία. περὶ δὲ τοῦ νοῦ καὶ τῆς θεωρητικῆς δυνάμεως οὐδέν πω φανερόν. ἀλλ' ἔοικε ψυχῆς γένος ἕτερον εἶναι, καὶ τοῦτο μόνον ἐνδέχεσθαι χωρίζεσθαι. καθάπερ τὸ ἀΐδιον τοῦ φθαρτοῦ. τὰ δὲ λοιπὰ μόρια τῆς ψυχῆς φανερὸν ἐκ τούτων ὅτι οὐκ ἔστι χωριστά. καθάπερ τινές φασιν· τῷ δὲ λόγῳ ὅτι ἕτερα. φανερόν· αἰσθητικῷ γὰρ εἶναι καὶ δοξαστικῷ ἕτερον, εἴπερ καὶ τὸ αἰσθάνεσθαι τοῦ δοξάζειν. ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον τῶν εἰρημέ-

15 μόνον **o**—P *Th 45, 28 cf Ph^p 237, 33* : μόνῳ P *Ph^l So 49, 2* (μὲν οὖν X, οὖν ins S²) τούτων ECVW *Ph^l* : om SUXP *Th 45, 28 So 49, 5* **16** (ὡς C) **17** καὶ ζῶντα SX, ras 3 litt ante ζῶντα U [ins καὶ post ζῶντα U²] **18** αὐτοῖς SUVXP *Si^l Th 45, 33 So 49, 9* : τούτοις ECW **19** (φυτῷ om V) πλειόνων . . . **21** διατεμνομένοις ☛ P **20** (ἀπὸ W) **21** (ἔχει ἕκαστον τῶν μερῶν V) **23** καὶ λύπη τε καὶ ἡδονή ECV : καὶ ἡδονή γε καὶ λύπη W : καὶ ἡδονὴ καὶ λύπη *Ph^l* : λύπη τε καὶ ἡδονή SUXP *So 49, 14 cf Th 45, 38* **25** οὐδέν πω EC [ν eras], *Si^l p102, 21 Ph^l c242, 2 ; 261, 14 . 16 p241, 2 Th 46, 4* [οὐδέπω C] *102, 12 : 103, 7* : οὐδέπω SUVXyP *Ph^c 11, 1 ; 194, 10D* [οὐδέν πω *R*] *So 49, 15* : οὔπω W **26** καὶ τοῦτο μόνον ἐνδέχεσθαι χωρίζεσθαι *Ph^l c 261, 14 ; 11, 24 ; 11, 2Dt Si^c in de coelo 279, 19* : καὶ [om S] τοῦτο μόνον ἐνδέχεται χωρίζεσθαι **o**—X *Ph^c 241, 21 ; 194, 11 ; 11, 2R So 49, 18* : τοῦτο μόνον ἐνδέχεσθαι [sscr ἐνδέχεται, suppl καὶ et χωρίζεσθαι X²] X *Alex ap Th 242, 7 Th 46, 4 cf 102, 12 ; 103, 8* **27** τὰ δὲ λοιπὰ . . . **28** χωριστά ☛ P

νων. ἔτι δ' ἐνίοις μὲν τῶν ζῴων ἅπανθ' ὑπάρχει ταῦτα, τισὶ δὲ τινὰ τούτων, ἑτέροις δὲ ἓν μόνον (τοῦτο δὲ ποιεῖ δια-
414 a φορὰν τῶν ζῴων)· διὰ τίνα δ' αἰτίαν, ὕστερον ἐπισκεπτέον. παραπλήσιον δὲ καὶ περὶ τὰς αἰσθήσεις συμβέβηκεν· τὰ μὲν γὰρ ἔχει πάσας, τὰ δὲ τινάς, τὰ δὲ μίαν τὴν ἀναγκαιοτάτην, ἁφήν.

ἐπεὶ δὲ ᾧ ζῶμεν καὶ αἰσθανόμεθα διχῶς λέγεται, καθάπερ ᾧ ἐπιστάμεθα (λέγομεν δὲ τὸ μὲν ἐπιστήμην τὸ δὲ ψυχήν, ἑκατέρῳ γὰρ τούτων φαμὲν ἐπίστασθαι), ὁμοίως δὲ καὶ ᾧ ὑγιαίνομεν τὸ μὲν ὑγιείᾳ τὸ δὲ μορίῳ τινὶ τοῦ σώματος ἢ καὶ ὅλῳ, τούτων δ' ἡ μὲν ἐπιστήμη τε καὶ ὑγίεια μορφὴ καὶ εἶδός τι καὶ λόγος καὶ οἷον ἐνέργεια τοῦ δεκτικοῦ, ἡ μὲν τοῦ ἐπιστημονικοῦ, ἡ δὲ τοῦ ὑγιαστοῦ (δοκεῖ γὰρ ἐν τῷ πάσχοντι καὶ διατιθεμένῳ ἡ τῶν ποιητικῶν ὑπάρχειν ἐνέργεια), ἡ ψυχὴ δὲ τοῦτο ᾧ ζῶμεν καὶ αἰσθανόμεθα καὶ διανοούμεθα πρώτως· ὥστε λόγος τις ἂν εἴη

32 ἔτι S [ε in ras], UVXyP : ἔστι W : ὅτι EC [ἔτι E^3 C^x] Ph^l [ἔτι D^1 ut v] (ὑπάρχειν X) **33** (τινὰ] γρ. ἐλάττω sscr y cf P *So 49, 28*) ποιεῖ SUXP Si^p *103, 19* Ph^c *243, 15* : ποιήσει ECVWy (διαφορὰς P : διαφορὰ W)

414 a 1 αἰτίαν ECSVWP : αἰτίαν γέγονεν UXy, ins γέγονεν S^2 Ph^l (σκεπτέον Ph^l) **2** παραπλήσιον... συμβέβηκεν ☞ P τὰς SVXyP Ph^l *So 49, 29* : om ECUW [suppl C^2] (αἴσθησιν C, -σεις sscr C^2) **3** (πάσας ἔχει U) (τὰ$_1$] τὰς S, τὰ S^2) τινάς] ἐλάττους γρ. E^3 P cf Ph^p *243, 20* **4** καὶ αἰσθανόμεθα **o** Ph^l : καὶ ᾧ αἰσθανόμεθα Si^l *Th 46. 12* διχῶς... **6** ἐπίστασθαι ☞ P **7** ὑγιείᾳ CVWP Si^p *104, 14* Ph^p *244, 23* *Th 46, 17* : ὑγίεια E *So 50, 3* : ὑγεία y : ὑγίειαν SUX **8** (μορίω corr vid e μυρία y) **9** (τι om V) καὶ$_4$ om SUX **10** τῶν δεκτικῶν XP Si^p *104, 20* Ph^c *245, 5* *Th 46, 21* *So 50, 18* : τοῦ δεκτικοῦ **o**—XP ὑγιαστοῦ W [ὑγιαστικοῦ sed ικ del], XP Si^p *104, 21* Ph^p *245, 7. 8* *So 50, 19* : ὑγιαστικοῦ ECSUV **12** (ἐνέργεια ὑπάρχειν W) (ὑπάρχειν om y) (ἡ om S) (ᾧ ζῶμεν om V) **13** διανοούμεθα ☞ P πρώτως **o** Si^c *104, 32* Ph^p *245, 30* *So 50, 31* : πρώτῳ Ph^l

καὶ εἶδος. ἀλλ' οὐχ ὕλη καὶ τὸ ὑποκείμενον. τριχῶς γὰρ λεγομένης τῆς οὐσίας, καθάπερ εἴπομεν, ὧν τὸ μὲν εἶδος, τὸ δὲ ὕλη, τὸ δὲ ἐξ ἀμφοῖν, τούτων δ' ἡ μὲν ὕλη δύναμις, τὸ δὲ εἶδος ἐντελέχεια, ἐπεὶ τὸ ἐξ ἀμφοῖν ἔμψυχον, οὐ τὸ σῶμά ἐστιν ἐντελέχεια ψυχῆς, ἀλλ' αὕτη σώματός τινος, καὶ διὰ τοῦτο καλῶς ὑπολαμβάνουσιν οἷς δοκεῖ μήτ' ἄνευ σώματος εἶναι μήτε σῶμά τι ἡ ψυχή· σῶμα μὲν γὰρ οὐκ ἔστι, σώματος δέ τι, καὶ διὰ τοῦτο ἐν σώματι ὑπάρχει, καὶ ἐν σώματι τοιούτῳ, καὶ οὐχ ὥσπερ οἱ πρότερον εἰς σῶμα ἐνήρμοζον αὐτήν, οὐθὲν προσδιορίζοντες ἐν τίνι καὶ ποίῳ, καίπερ οὐδὲ φαινομένου τοῦ τυχόντος δέχεσθαι τὸ τυχόν. οὕτω δὲ γίνεται καὶ κατὰ λόγον· ἑκάστου γὰρ ἡ ἐντελέχεια ἐν τῷ δυνάμει ὑπάρχοντι καὶ τῇ οἰκείᾳ ὕλῃ πέφυκεν ἐγγίνεσθαι. ὅτι μὲν οὖν ἐντελέχειά τίς ἐστι καὶ λόγος τοῦ δύναμιν ἔχοντος εἶναι τοιούτου, φανερὸν ἐκ τούτων.

3 Τῶν δὲ δυνάμεων τῆς ψυχῆς αἱ λεχθεῖσαι τοῖς μὲν

14 οὐχ EC [ὡς ins Cˣ], W: οὐχ ὡς SUVXyP *Si^c 104, 28 So 50, 33*: οὐχὶ ἡ W² **15** (καθάπερ εἴπομεν om P) εἶδος τὸ δὲ ὕλη ECSVWy: ὕλη τὸ δὲ εἶδος U [ὕλη et εἶδος in ras, subf vid εἶδος et ὕλη], XP *Th 46, 28 So 50, 33* **16** (δ'₃ om P) (δυνάμει y, sscr -ις) **17** (δὲ] τ' S) ἐπεὶ CVWXy: ἔπειτα E: ἐπεὶ δὲ SUP *Th 46, 30 cf Ph^p 246, 2* **19** (οὔτε ... ἡ ψυχὴ οὔτε P) (καλῶς om [eras?] V) **20** μὲν ECVWyP *Th 46, 33 So 51, 18*: om SUX **21** (δὲ εἶδός τι V) **22** (ὑπάρχειν W) ἐν om SXP *Th 46, 33* (τοιούτῳ ex τούτῳ y) (καὶ₂] ἀλλ' P) (πρότεροι *Ph^l*) **23** (αὐτὴν ex αὐτὰ Wˣ) (οὐδὲ P) προσδιορίζοντες ECVWy *Ph^p 247, 35*: διορίζοντες *Ph^l*: προσδιορίσαντες SUXP *So 51, 24* **24** (οὐ S) **25** οὕτω] «τοῦτο» *So 51, 38* (δὴ W) καὶ o—WP *So 51, 38*: om WP *Th 46, 37* **26** (ἐγγίνεσθαι πέφυκε P) **27** (γίνεσθαι S) (καὶ λόγος om V) **28** εἶναι τοιούτου ECVWyP *Th 47, 5 So 52, 3*: τοιουδὶ εἶναι SUX **29** (αἱ δ' εἰρημέναι τῶν δυνάμεων τῆς ψυχῆς P)

ὑπάρχουσι πᾶσαι, καθάπερ εἴπομεν, τοῖς δὲ τινὲς αὐτῶν, ἐνίοις δὲ μία μόνη. δυνάμεις δ' εἴπομεν θρεπτικόν, ὀρεκτικόν, αἰσθητικόν, κινητικὸν κατὰ τόπον, διανοητικόν, ὑπάρχει δὲ τοῖς μὲν φυτοῖς τὸ θρεπτικὸν μόνον, ἑτέροις δὲ
414 b τοῦτό τε καὶ τὸ αἰσθητικόν. εἰ δὲ τὸ αἰσθητικόν, καὶ τὸ ὀρεκτικόν· ὄρεξις μὲν γὰρ ἐπιθυμία καὶ θυμὸς καὶ βούλησις, τὰ δὲ ζῷα πάντ' ἔχουσι μίαν γε τῶν αἰσθήσεων, τὴν ἁφήν. ᾧ δ' αἴσθησις ὑπάρχει, τούτῳ ἡδονή τε καὶ λύπη καὶ τὸ ἡδύ τε καὶ λυπηρόν, οἷς δὲ ταῦτα, καὶ ἡ ἐπιθυμία· τοῦ γὰρ ἡδέος ὄρεξις αὕτη. ἔτι δὲ τῆς τροφῆς αἴσθησιν ἔχουσιν· ἡ γὰρ ἁφὴ τῆς τροφῆς αἴσθησις· ξηροῖς γὰρ καὶ ὑγροῖς καὶ θερμοῖς καὶ ψυχροῖς τρέφεται τὰ ζῶντα πάντα, τούτων δ' αἴσθησις ἁφή· τῶν δ' ἄλλων αἰσθητῶν κατὰ συμβεβηκός. οὐθὲν γὰρ εἰς τροφὴν συμβάλλεται ψόφος οὐδὲ χρῶμα

30 (ἐν ante ὑπάρχουσι ins E[3]) καθάπερ εἴπομεν SUVXP *Ph[l]* *Th 47, 8* *So 52, 11* : ὥσπερ εἴπομεν W : om ECy **31** (μόνη μία V) ὀρεκτικὸν αἰσθητικὸν ECSUyP *So 52, 13* : αἰσθητικὸν ὀρεκτικὸν VX *Th 47, 10* : αἰσθητικὸν W

414 b **1** τοῦτο ECVWy *Ph[c] 248, 31* : αὐτό SUXP *So 52, 15* (τε om V : γε P) εἰ δὲ τὸ αἰσθητικόν ECVWyP *So 52, 16* : om SUX *Ph[c] 248, 31* **2** (ὀρέξεις E) (βούλησις καὶ θυμός y) **3** ἔχουσι μίαν γε ECSUVX : μίαν ἔχουσί γε y : μίαν ἔχουσι WP : ἔχουσι μίαν *Ph[c] 248, 32* **5** τε SUVWXyP *Si[p] 105, 19* *So 52, 24* : om EC *Ph[c] 249, 9* λυπηρόν **o**—V *Si[p] 105, 19* *So 52, 24* : τὸ λυπηρόν V *Ph[c] 249, 9* καὶ ἡ ECWy : καὶ VXP *Ph[c] 253, 22* *So 52, 25* : om SU **6** ὄρεξις αὕτη ECVWy *Ph[c] 253, 23* : ὄρεξίς ἐστιν αὕτη SUXP *cf So 52, 25* δὲ SUVX : om ECWyP [ins C[x] W[2]] : τε *Ph[l]* **7** (καὶ ὑγροῖς om V) **8** ζῶντα ECSU [sed eras. ζῷα U[2]], WX [ντ eras], y *Ph[p] 250, 7* *Th 47, 23* : ζῷα VP *Si[l]* πάντα **o** *Th 47, 23* : ἅπαντα *Si[l]* **9** τῶν δ' ἄλλων αἰσθητῶν **o** *Alex ap Ph 253, 1* *Si[lp] 105, 34* *Ph[lc] 252, 36 ; 253, 1. 13. 21* *Th 47, 32* : «τοῖς δ' ἄλλοις τῶν αἰσθητῶν» *So 53, 8* **10** (οὐδὲ X, ex οὐδὲν y[2]) οὐδὲ χρῶμα **o**—E *Ph[c] 253, 30* *Th 44, 33* *So 53, 10* : om E

οὐδὲ ὀσμή, ὁ δὲ χυμὸς ἕν τι τῶν ἁπτῶν ἐστιν. πεῖνα δὲ καὶ δίψα ἐπιθυμία, καὶ ἡ μὲν πεῖνα ξηροῦ καὶ θερμοῦ, ἡ δὲ δίψα ψυχροῦ καὶ ὑγροῦ· ὁ δὲ χυμὸς οἷον ἥδυσμά τι τούτων ἐστίν. διασαφητέον δὲ περὶ αὐτῶν ὕστερον, νῦν δ' ἐπὶ τοσοῦτον εἰρήσθω, ὅτι τῶν ζῴων τοῖς ἔχουσιν ἁφὴν καὶ ὄρεξις ὑπάρχει. περὶ δὲ φαντασίας ἄδηλον, ὕστερον δ' ἐπισκεπτέον. ἐνίοις δὲ πρὸς τούτοις ὑπάρχει καὶ τὸ κατὰ τόπον κινητικόν, ἑτέροις δὲ καὶ τὸ διανοητικόν τε καὶ νοῦς, οἷον ἀνθρώποις καὶ εἴ τι τοιοῦτον ἕτερόν ἐστιν ἢ τιμιώτερον.

δῆλον οὖν ὅτι τὸν αὐτὸν τρόπον εἷς ἂν εἴη λόγος ψυχῆς τε καὶ σχήματος· οὔτε γὰρ ἐκεῖ σχῆμα παρὰ τὸ τρίγωνόν ἐστι καὶ τὰ ἐφεξῆς, οὔτ' ἐνταῦθα ψυχὴ παρὰ τὰς εἰρημένας. γένοιτο δ' ἂν καὶ ἐπὶ τῶν σχημάτων λόγος κοινός, ὃς ἐφαρμόσει μὲν πᾶσιν, ἴδιος δ' οὐδενὸς ἔσται σχήματος. ὁμοίως δὲ καὶ ἐπὶ ταῖς εἰρημέναις ψυχαῖς. διὸ γελοῖον ζητεῖν τὸν κοινὸν λόγον καὶ

11 (ὁ δὲ] in οὐδὲ corr E^3, ex οὐδὲ y) **12** ξηροῦ καὶ θερμοῦ ECUVWy *Si*^{p} *106, 12* *Th 47, 31* *So 52, 35* : θερμοῦ καὶ ξηροῦ SXP **13** ψυχροῦ καὶ ὑγροῦ ECUVWy *Si*^{p} *106, 13* *Th 47, 32* : ὑγροῦ καὶ ψυχροῦ XP *So 52, 36* : καὶ ὑγροῦ καὶ ψυχροῦ S ὁ δὲ χυμὸς … 416ᵃ 9 τρέφεσθαι ☛ E_a τι ECWyP *Ph*^{p} *253, 32* : om SUVX cf E_a **15** εἰρήσθω ECWy : διωρίσθω SUVXP *Th 47, 36* *So 53, 21* **16** (ἄδηλον ex δῆλον C^2 : ἄδηλα W, -ον sscr W^2) **18** (καὶ$_1$ om Wy) (ἄνθρωπος VX) καὶ$_2$ o—SX, E_a *Si*^{l} *Th 48, 4* *So 53, 26* : κἂν SX *Ph*^{c} *255, 6* **19** (τι ζῷον τοιοῦτον P cf E_a) ἕτερόν ἐστι ECWXyP *Si*^{l} *So 53, 26* : ἐστιν ἕτερον SUV *Th 48, 4* : ἕτερον *Ph*^{c} *255, 6* ἢ ECVWy *So 53, 26 BC* : ἢ καὶ SUX P E_a *Si*^{l} *Th 48, 4* *So 53, 26 A* : καὶ *Ph*^{c} *255, 6* **20** (λόγος y^2 ex νοῦς) τε o *Si*^{l} : om *Ph*^{l} (σώματος W, corr in σχήματος) **21** (ἐστι om V) (ἑξῆς W) **22** ψυχὴ SUX P *Ph*^{l} *So 54, 2* : ἡ ψυχὴ ECVW [ἡ del W^2], y *Si*^{c} *107, 18* τὰς εἰρημένας o *Si*^{c} *107, 18* : τὰ εἰρημένα *Ph*^{l} γένοιτο SUVWXE_a *So 54, 2* : γίγνοιτο ECyP **23** (ὁ λόγος W) **24** ἔσται ESUWyE_a *Si*^{p} *107, 32* *So 54, 3* : ἐστι VXP : εἴη C

ἐπὶ τούτων καὶ ἐφ' ἑτέρων, ὃς οὐδενὸς ἔσται τῶν ὄντων ἴδιος λόγος, οὐδὲ κατὰ τὸ οἰκεῖον καὶ ἄτομον εἶδος, ἀφέντας τὸν τοιοῦτον. παραπλησίως δ' ἔχει τῷ περὶ τῶν σχημάτων καὶ τὰ κατὰ ψυχήν· ἀεὶ γὰρ ἐν τῷ ἐφεξῆς ὑπάρχει δυνάμει τὸ πρότερον ἐπί τε τῶν σχημάτων καὶ ἐπὶ τῶν ἐμψύχων, οἷον ἐν τετραγώνῳ μὲν τρίγωνον, ἐν αἰσθητικῷ δὲ τὸ θρεπτικόν. ὥστε καθ' ἕκαστον ζητητέον, τίς ἑκάστου ψυχή, οἷον τίς φυτοῦ καὶ τίς ἀνθρώπου ἢ θηρίου. διὰ τίνα δ' αἰτίαν τῷ ἐφε-
415a ξῆς οὕτως ἔχουσι, σκεπτέον. ἄνευ μὲν γὰρ τοῦ θρεπτικοῦ τὸ αἰσθητικὸν οὐκ ἔστιν· τοῦ δ' αἰσθητικοῦ χωρίζεται τὸ θρεπτικὸν ἐν τοῖς φυτοῖς. πάλιν δ' ἄνευ μὲν τοῦ ἁπτικοῦ τῶν ἄλλων αἰσθήσεων οὐδεμία ὑπάρχει, ἁφὴ δ' ἄνευ τῶν ἄλλων ὑπάρχει· πολλὰ γὰρ τῶν ζῴων οὔτ' ὄψιν οὔτ' ἀκοὴν ἔχουσιν οὔτ' ὀσμῆς αἴσθησιν. καὶ τῶν αἰσθητικῶν δὲ τὰ μὲν ἔχει τὸ κατὰ τόπον κινητικόν, τὰ δ' οὐκ ἔχει. τελευταῖον

26 ἔσται ECVWyE$_a$ *Sil Th 48, 26*: ἐστι SUXP *So 54, 27* **27** κατὰ **o**—Wy, E$_a$ *Sil p108, 1 So 54, 30*: πρὸς Wy [sscr κατὰ W^{2}y^2] καὶ ἄτομον SUVWXPE$_a$ *Sil p108, 1 So 54, 30*: καὶ τὸ ἄτομον ECy ἀφέντας **o**—W, E$_a$ *Php 205, 13*: ἀφέντες W [adscr -ας W^2]: ἀφέντα *Sil p108, 1* **28** (τῷ] τὰ S) περὶ **o**—SV: παρὰ S [corr in περὶ S^2]: ἐπὶ V *Sil* (καὶ . . . **30** σχημάτων om V, ras 15 litt, subf . . . . σχημάτων) **29** κατὰ ECWy *Sil*: περὶ τὴν SUXPE$_a$ ἐν τῷ **o**—P, E$_a$ *So 54, 5*: ἐν τῇ P: τῷ *Phc 257, 26 Th 48, 32* **30** ἐπὶ$_2$ om P *Th 48, 32* **31** τρίγωνον **o**—V, E$_a$ *Th 48, 33*: τὸ τρίγωνον V *So 54, 6* **33** (καὶ om P *So 54, 37 A* [καὶ *BC*]) τῷ **o**—VP *Phl*: τὸ P, corr U^2 *So 54, 38*: om V: τὰ S^2 (οὕτως ἔχουσιν ἐφεξῆς V)

415a 2 (τοῖς δ' αἰσθητικοῖς [corr in τῆς δ' αἰσθητικῆς] V) (τὸ θρεπτικὸν χωρίζεται Wy) **5** γὰρ ECVWy PE$_a$ *So 55, 2*: δὲ SUX (ἔχει V) **6** ὀσμῆς αἴσθησιν ECWy: ὀσμῆς ὅλως αἴσθησιν SUXP *So 55, 3*: ὀσμὴν οὔτ' ἄλλην αἴσθησιν V δὲ **o** [ex μὲν corr W^1] *Phl* om *So 55, 3* **7** τελευταῖον ESUVXyE$_a$ *Phl So 55, 4 A*: τελευταῖα CWP *So 55, 4 BC*

δὲ καὶ ἐλάχιστα λογισμὸν καὶ διάνοιαν· οἷς μὲν γὰρ ὑπάρχει λογισμὸς τῶν φθαρτῶν, τούτοις καὶ τὰ λοιπὰ πάντα, οἷς δ' ἐκείνων ἕκαστον, οὐ πᾶσι λογισμός, ἀλλὰ τοῖς μὲν οὐδὲ φαντασία, τὰ δὲ ταύτῃ μόνῃ ζῶσιν. περὶ δὲ τοῦ θεωρητικοῦ νοῦ ἕτερος λόγος. ὅτι μὲν οὖν ὁ περὶ τούτων ἑκάστου λόγος οὗτος οἰκειότατος καὶ περὶ ψυχῆς, δῆλον.√

4 Ἀναγκαῖον δὲ τὸν μέλλοντα περὶ τούτων σκέψιν ποιεῖσθαι λαβεῖν ἕκαστον αὐτῶν τί ἐστιν, εἶθ' οὕτως περὶ τῶν ἐχομένων καὶ περὶ τῶν ἄλλων ἐπιζητεῖν. εἰ δὲ χρὴ λέγειν τί ἕκαστον αὐτῶν, οἷον τί τὸ νοητικὸν ἢ τὸ αἰσθητικὸν ἢ τὸ θρεπτικόν, πρότερον ἔτι λεκτέον τί τὸ νοεῖν καὶ τί τὸ αἰσθάνεσθαι· πρότεραι γάρ εἰσι τῶν δυνάμεων αἱ ἐνέργειαι καὶ αἱ πράξεις κατὰ τὸν λόγον. εἰ δ' οὕτως, τούτων δ' ἔτι πρότερα τὰ ἀντικείμενα

8 ἐλάχιστα ECWXyP *Ph*[l p]*260, 5 So 55, 4 :* ἐλάχιστον SUV διάνοιαν· οἷς ECSUVXE[a] : διάνοιαν οἷον ὁ [om ὁ E[1] P *So*] ἄνθρωπος ἤ τι [ἢ εἴ τι P *So :* ἔτι S[2]] τοιοῦτον ἄλλο [ἕτερον P *So*] ὑπάρχει· οἷς WyP mgE[1] mgS[2] *Ph*[c] *260, 5 So 55, 5* **9** (τῶν φθαρτῶν om P *So 55, 6*) (πάντα τῶν εἰρημένων P *So 55, 6*) **11** (τὰ] τοῖς y) ταύτῃ μόνῃ ECVyP *Ph*[l c] *260, 28 Th 49, 8 So 55, 8 :* μόνῃ ταύτῃ W : ταύτῃ μόνον [μόνῃ S[2]] SUX **12** νοῦ ECUWXy *Si*[l] *Ph*[l c]*261, 26 Th 49, 8* : om S [suppl S[2]], VP *So 55, 8* (ὅτι . . . **13** λόγος mg U[1]) (τούτων] τ . . . . . cetera erasa V) (ἑκάστου om V) **14** ποιεῖσθαι o—WP *Si*[l] *Ph*[l] *:* ποιήσασθαι WP *Ph*[c] *262, 13 Th 49, 13 So 56, 15* **15** τί ἐστιν ECVWy cf P [τί ἕκαστόν ἐστιν αὐτῶν] et *So 56, 15* [τί ἐστιν ἕκαστον αὐτῶν], *Si*[p] *109, 16 Ph*[l c]*262, 13 cf Th 49, 14 :* om SUX : τί ante ἕκαστον et ἐστιν post αὐτῶν ins S[2] cf E[a] **16** καὶ ECVWyE[a] *Si*[p] *109, 15 cf So 56, 16 :* ἢ καὶ SUX : καὶ . . . ἄλλων om P *cf Th 49, 15* τί o *Th 49, 16 So 56, 25 :* om *Ph*[l] **17** (τί om U) (τὸ$_1$ om W) (ἢ τί τὸ αἰσθητικὸν S *cf Th 49, 17*) **18** (πότερον y, πρότερον corr y[2]) ἔτι ECUWXy *Ph*[l] *So 56, 26 :* ἐστὶ SP : om V καὶ τί τὸ o *Th 49, 17 So 56, 26* [om τί] : ἢ τὸ *Ph*[l] **19** πρότεραι ECVXyP *Si*[l] *Th 49, 18 So 56, 27 :* πρότερον SU,W [ut vid] (αἱ ἐνέργειαι τῶν δυνάμεων Wy) **20** (τὸν om E) (δ'$_2$ ins E[x]) πρότερα o—UX *So 56, 28 :* πρότερον UX *Ph*[p] *265, 9*

δεῖ τεθεωρηκέναι, περὶ ἐκείνων πρῶτον ἂν δέοι διορίσαι διὰ τὴν αὐτὴν αἰτίαν, οἷον περὶ τροφῆς καὶ αἰσθητοῦ καὶ νοητοῦ. ὥστε πρῶτον περὶ τροφῆς καὶ γεννήσεως λεκτέον· ἡ γὰρ θρεπτικὴ ψυχὴ καὶ τοῖς ἄλλοις ὑπάρχει, καὶ πρώτη καὶ κοινοτάτη δύναμίς ἐστι ψυχῆς, καθ' ἣν ὑπάρχει τὸ ζῆν ἅπασιν. ἧς ἐστὶν ἔργα γεννῆσαι καὶ τροφῇ χρῆσθαι· φυσικώτατον γὰρ τῶν ἔργων τοῖς ζῶσιν, ὅσα τέλεια καὶ μὴ πηρώματα, ἢ τὴν γένεσιν αὐτομάτην ἔχει, τὸ ποιῆσαι ἕτερον οἷον αὐτό, ζῷον μὲν ζῷον, φυτὸν δὲ φυτόν, ἵνα τοῦ ἀεὶ καὶ τοῦ θείου μετέχωσιν ᾗ
415ᵇ δύνανται· πάντα γὰρ ἐκείνου ὀρέγεται, καὶ ἐκείνου ἕνεκα πράττει ὅσα πράττει κατὰ φύσιν. τὸ δ' οὗ ἕνεκα διττόν, τὸ μὲν οὗ, τὸ

21 δεῖ ECVy Ph^{p} *265,9* : καὶ δεῖ SUXP *So 56,29* (δεῖ τεθεωρηκέναι om W) πρῶτον ἂν ECSUVX : δ' ἂν πρῶτον [exp δ'] W : ἂν πρότερον y : πρότερον ἂν P *So 56,30* (ὁρίσαι SU : om P) **23** (γενέσεως P) **24** (καὶ₁ om V) καὶ₂ ECSW *So 56,33* : om UVXyPE_a Ph^{l} *c278,34* **25** (ψυχῆς om V) ἧς ECSUVXPE_a Si^{l} Ph^{c} *267,14 ; 278,35 Th 50,4 So 56,34 AC* : οἷς Wy *So 56,34 B* **26** ἔργα o—P Si^{l} Ph^{c} *267,15 ; 278,35 Th 50,4* : ἔργον PE_a *So 56,34* καὶ o—WP Si^{l} : τε καὶ WP Ph^{l} *c267,15 ; 279,1 So 56,34* χρῆσθαι ECWy P [add ἢ ζῆν], E_a Ph^{c} *267,15 ; 279,1* : χρήσασθαι SUVX Si^{l} *So 56,34* φυσικώτατον SU [corr vid ex φυσικώτερον], WXP Si^{l} *c110,16* Ph^{l} *p267,22 Th 50,6 So 56,34* : φυσικώτερον EC, y [corr in φυσικώτατον τέλος y²] : φυσικώτατα V τῶν ἔργων τοῖς ζῶσιν ECUVy *So 56,35* : τῶν ἔργων τοῖς ζώοις SP : τοῖς ζώοις τῶν ἔργων X : ἔργον τοῖς ζῶσιν W : τῶν ἐν τοῖς ζῶσιν ἔργων Ald Si^{l} : «ἁπάντων τοῖς ζῶσιν» *Th 50,6* : τοῖς ζῶσίν ἐστιν Ph^{l} *cf p268,9 ; 269,26* **27** γένεσιν o *Th 50,7 So 56,37* : γέννησιν Ph^{l} *p267,25* **28** αὐτομάτην ECVXy Si^{p} *110,22* Ph^{l} *p267,25 Th 50,7* : αὐτόματον SUPE_a Si^{l} *So 56,37* : αὐτομάτως W [sscr -ην W¹] (ἔχειν [ins ν] W) **29** (ἵνα δὴ τοῦ P *So 57,1*) μετέχωσιν SWXyP Ph^{c} *268,6 Th 50,9 So 57,1* : μετέχουσιν EU, [corr ου in ω] C : μετάσχωσιν V

415ᵇ **1** καὶ ἐκείνου ECUVWy *Th 50,10* : κἀκείνου SX PE_a *So 57,2* **2** πράττει κατὰ φύσιν ECSUVXE_a *Th 50,11* : κατὰ φύσιν πράττει Wy :

δὲ ᾧ. ἐπεὶ οὖν κοινωνεῖν ἀδυνατεῖ τοῦ ἀεὶ καὶ τοῦ θείου τῇ συνεχείᾳ, διὰ τὸ μηδὲν ἐνδέχεσθαι τῶν φθαρτῶν ταὐτὸ καὶ ἓν ἀριθμῷ διαμένειν, ᾗ δύναται μετέχειν ἕκαστον, κοινωνεῖ ταύτῃ, τὸ μὲν μᾶλλον τὸ δ' ἧττον· καὶ διαμένει οὐκ αὐτὸ ἀλλ' οἷον αὐτό, ἀριθμῷ μὲν οὐχ ἕν, εἴδει δ' ἕν.

ἔστι δὲ ἡ ψυχὴ τοῦ ζῶντος σώματος αἰτία καὶ ἀρχή. ταῦτα δὲ πολλαχῶς λέγεται. ὁμοίως δ' ἡ ψυχὴ κατὰ τοὺς διωρισμένους τρόπους τρεῖς αἰτία· καὶ γὰρ ὅθεν ἡ κίνησις αὐτή, καὶ οὗ ἕνεκα, καὶ ὡς ἡ οὐσία τῶν ἐμψύχων σωμάτων ἡ ψυχὴ αἰτία. ὅτι μὲν οὖν ὡς οὐσία, δῆλον· τὸ γὰρ αἴτιον τοῦ εἶναι πᾶσιν ἡ οὐσία, τὸ δὲ ζῆν τοῖς ζῶσι τὸ εἶναί ἐστιν, αἰτία δὲ καὶ ἀρχὴ τούτου ἡ ψυχή. ἔτι τοῦ δυνάμει ὄντος λόγος ἡ

κατὰ φύσιν P *So 57, 2*   διττόν **o**—XP *Si*^{l} *So 58, 1* : δισσόν XP *Ph*^{l} *Th 50, 11*   οὗ$_2$] ὃ EC [corr in οὗ E^{x}C^3]: ᾧ y
3 (ᾧ] οὗ y)   **4** ταὐτὸ ECVWy *Th 50, 20* : τὸ αὐτὸ SUXP *So 58, 22*   **5** (μετέχειν δύναται XP)   κοινωνεῖ ταύτῃ ECVW : ταύτῃ κοινωνεῖ SUXP *Th 50, 21 So 58, 22*   **7** δ' ἓν ECSWyE$_a$ *Th 50, 25 So 58, 24* : δ' ἓν [δ' ἕν ἐστι X] διόπερ [διὸ V] τὸ σπέρμα τῶν ζῴων [φυτῶν X, τ. ζ. τὸ σπ. V] καὶ τῶν [om τῶν UX] φυτῶν ὄργανόν ἐστι τῆς ψυχῆς [τ. ψ. om UX] UVXmgC^{2}mgE^3 : δ' ἓν διόπερ τὸ σπέρμα τῶν φυτῶν ὄργανόν ἐστι P *cf So 58, 11*   (ἡ om V)   **9** ὁμοίως ECVW *Ph*^{c} *273, 9 Th 50, 27* : ὅμως SUXPE$_a$ (δ' om S)   κατὰ ECVWP *Th 50, 27 So 58, 27* : om SUX [ins X^2] E$_a$ *Ph*^{c} *273, 9*   διωρισμένους ECVWPE$_a$ *Ph*^{c} *273, 9 Th 50, 27 So 58, 27* : διηρημένους SUX [corr in διωρισμένους X^2]   **10** (τρεῖς τρόπους ἐστὶν αἰτία W, τρεῖς om X [lacunae relictae ins X^2])   (αἴτιον P)   (αὐτῆς ES : αὕτη V)   **11** ἡ$_1$ ECSW : om UVXPE$_a$ *Ph*^{c} *273, 13 So 58, 28*   **12** (αἴτιον P)   ὡς ECVWXP *Si*^{l} *Ph*^{c} *273, 17* : om SU   **13** αἰτία SUVWX *Ph*^{p} *273, 19 So 58, 31* : αἴτιον ECPE$_a$ **14** τούτου PE$_a$ *So 58, 31 cf Si*^{p} *111, 13 Ph*^{p} *271, 34 . 36 ; 273, 20* : τούτων **o**—P   (ἔτι δὲ P)   τοῦ δυνάμει ECVWP *Ph*^{l} *So 58, 31 cf Si*^{p} *111, 15* : τοῦ ἐν δυνάμει SUX   (ἡ$_2$ ins W^2)

---

5 δύναται . . . **416^a 18** ὕλης desunt in y excisis foliis duobus

ἐντελέχεια. φανερὸν δ' ὡς καὶ οὗ ἕνεκεν ἡ ψυχὴ αἰτία· ὥσπερ γὰρ ὁ νοῦς ἕνεκά του ποιεῖ, τὸν αὐτὸν τρόπον καὶ ἡ φύσις, καὶ τοῦτ' ἔστιν αὐτῆς τέλος. τοιοῦτον δ' ἐν τοῖς ζώοις ἡ ψυχὴ καὶ κατὰ φύσιν· πάντα γὰρ τὰ φυσικὰ σώματα τῆς ψυχῆς ὄργανα, καὶ καθάπερ τὰ τῶν ζώων, οὕτω καὶ τὰ τῶν φυτῶν, ὡς ἕνεκα τῆς ψυχῆς ὄντα. διττῶς δὲ τὸ οὗ ἕνεκα, τό τε οὗ καὶ τὸ ᾧ. ἀλλὰ μὴν καὶ ὅθεν πρῶτον ἡ κατὰ τόπον κίνησις, ψυχή. οὐ πᾶσι δ' ὑπάρχει τοῖς ζῶσιν ἡ δύναμις αὕτη. ἔστι δὲ καὶ ἀλλοίωσις καὶ αὔξησις κατὰ ψυχήν· ἡ μὲν γὰρ αἴσθησις ἀλλοίωσίς τις εἶναι δοκεῖ, αἰσθάνεται δ' οὐθὲν ὃ μὴ μετέχει ψυχῆς. ὁμοίως δὲ καὶ περὶ αὐξήσεώς τε καὶ φθίσεως ἔχει· οὐδὲν γὰρ φθίνει οὐδ' αὔξεται φυσικῶς μὴ τρεφόμενον, τρέφεται δ' οὐθὲν ὃ μὴ κοινωνεῖ ζωῆς. Ἐμπεδοκλῆς δ' οὐ καλῶς εἴρηκε τοῦτο, προστιθεὶς τὴν αὔξησιν συμβαίνειν τοῖς φυτοῖς κάτω μὲν συρριζουμένοις

15 ὡς καὶ οὗ ECSUXP *So 58, 34* : καὶ ὡς οὗ W : καὶ ὡς τὸ οὗ V : ὡς καὶ τὸ οὗ *Ph*[l] ἕνεκα SUXP *Ph*[l] *So 58, 34* αἰτία ἡ ψυχή X *Ph*[l] *So 58, 34* [om ἡ] : αἴτιον ἡ ψυχή P **16** (ὁ om V) ποιεῖ UWXPE$_a$ *Ph*[c] *274, 3* *So 58, 35* : νοεῖ ECSV **17** αὐτῆς ECSWE$_a$ *cf Ph*[p] *274, 10* : αὐτοῖς V : αὐτῇ UXP *So 58, 35* (τέλεος E) (ζῶσιν V) **18** (καὶ eras V) (σώματα om S) **19** καὶ$_1$ ECVWP *So 58, 39* : om SUX (τὰ bis om XP) **20** (ἕνεκεν S) διχῶς XP *Si*[l] *So 59, 2* : δισσῶς *Ph*[c] *274, 15* (τὸ om P) **21** οὗ] ὃ E [corr οὗ E[x]], C [sscr οὗ C[3]] **22** ψυχή o—P *Ph*[l] *So 59, 2* : ἡ ψυχή P *Si*[l] (ἐνυπάρχει V) (ζώοις X) **23** (ἔστι δὲ om V) **25** μετέχει ψυχῆς ECVW : ψυχὴν ἔχει SUXP cf E$_a$ *Th 50, 33* *So 59, 11* **26** τε om XPE$_a$ *So 59, 12* (οὐδὲ X) αὔξεται ECSUWP *Ph*[p] *275, 11* *Th 50, 34* *So 59, 12* : αὐξάνεται VXE$_a$ **27** (μὴ om P) (κοινωνεῖ ζωῆς] μετέχει ψυχῆς W) **28** (εἴρηκεν εἰς τοῦτο V) (προσθεὶς P *So 59, 16*) **29** συρριζουμένοις E, [eras συρ] C : ῥιζουμένοις WP *So 59, 17* : ῥιζουμένων SUVX, verbum simplex legit *Th 51, 2*

διὰ τὸ τὴν γῆν οὕτω φέρεσθαι κατὰ φύσιν, ἄνω δὲ διὰ τὸ πῦρ ὡσαύτως. οὔτε γὰρ τὸ ἄνω καὶ κάτω καλῶς λαμβάνει· οὐ γὰρ τὸ αὐτὸ πᾶσι τὸ ἄνω καὶ κάτω καὶ τῷ παντί, ἀλλ' ὡς ἡ κεφαλὴ τῶν ζῴων, οὕτως αἱ ῥίζαι τῶν φυτῶν, εἰ χρὴ τὰ ὄργανα λέγειν ἕτερα καὶ ταὐτὰ τοῖς ἔργοις. πρὸς δὲ τούτοις τί τὸ συνέχον εἰς τἀναντία φερόμενα τὸ πῦρ καὶ τὴν γῆν; διασπασθήσεται γάρ, εἰ μή τι ἔσται τὸ κωλῦον· εἰ δ' ἔσται, τοῦτ' ἐστὶν ἡ ψυχὴ καὶ τὸ αἴτιον τοῦ αὐξάνεσθαι καὶ τρέφεσθαι. δοκεῖ δέ τισιν ἡ τοῦ πυρὸς φύσις ἁπλῶς αἰτία τῆς τροφῆς καὶ τῆς αὐξήσεως εἶναι· καὶ γὰρ αὐτὸ φαίνεται μόνον τῶν σωμάτων ἢ τῶν στοιχείων τρεφόμενον καὶ αὐξόμενον. διὸ καὶ ἐν τοῖς φυτοῖς καὶ ἐν τοῖς ζῴοις ὑπολάβοι τις ἂν τοῦτο εἶναι τὸ ἐργαζόμενον. τὸ δὲ συναίτιον μέν πώς ἐστιν, οὐ μὴν ἁπλῶς γε αἴτιον, ἀλλὰ μᾶλλον ἡ ψυχή· ἡ μὲν γὰρ τοῦ πυρὸς αὔξησις εἰς ἄπειρον, ἕως ἂν ᾖ τὸ καυστόν, τῶν δὲ φύσει συνισταμένων πάντων ἐστὶ πέρας καὶ λόγος μεγέθους τε καὶ αὐξήσεως· ταῦτα 416

416a 1 (οὕτω] κάτω V) **2** (καὶ τὸ κάτω P *So 59, 18*) **3** τὸ αὐτὸ ECUVWE$_a$ *Si^p 112, 27 Ph^p 276, 12 Th 51, 5* : ταὐτὸ XP *So 59, 18* : αὐτὸ S (καὶ τὸ κάτω P *So 59, 18 A*) **5** (εἰ ... ἔργοις om W suppl mg W^2) **6** (πρὸς δὲ] καὶ πρὸς W) (φερόμενον P *So 59, 27*) **7** (τι om SW) ἔσται ECSUVW *So 59, 28* : ἔστι XP κωλῦον ECWX : κωλῦσον SUVP *So 59, 28* **8** ἔσται ECSUWX *Si^c 112, 35* : ἔστι VP *So 59, 28* (καὶ τὸ αἴτιον om X [suppl X^2] : τὸ om EC) (αὔξεσθαι P *So 59, 29*) **11** (αὐτὸ] καὶ αὐτὸ V) (μόνον om P) (ἢ] καὶ V *So 59, 33*) **12** αὐξόμενον ECWP *Ph^p 277, 25 So 59, 33* : αὐξανόμενον SUVX *Th 51, 19* (ἐν$_2$ om W) **14** (πως μὲν S) **15** (ἡ ψυχὴ μᾶλλον P) ἡ$_1$ SUVXP *cf Th 51, 22* : om E [ἡ ins E^x], CW (ἄπειρα P) **16** συνισταμένων πάντων o—P *Th 51, 24* : συνισταμένων *Si^{l}A* : συνεστώτων P *So 60, 13* **17** ἐστὶ πέρας ECSUW *Th 51, 24* : ἐστὶ καὶ πέρας V : πέρας ἐστὶ XP *Si^l So 60, 13* μεγέθους τε ECVWP : καὶ μεγέθους SUX *Th 51, 24* (τοῦτο V)

δὲ ψυχῆς, ἀλλ' οὐ πυρός, καὶ λόγου μᾶλλον ἢ ὕλης. |

ἐπεὶ δ' ἡ αὐτὴ δύναμις τῆς ψυχῆς θρεπτικὴ καὶ γεννητική, καὶ περὶ τροφῆς ἀναγκαῖον διωρίσθαι πρῶτον· ἀφορίζεται γὰρ πρὸς τὰς ἄλλας δυνάμεις τῷ ἔργῳ τούτῳ. δοκεῖ δ' εἶναι ἡ τροφὴ τὸ ἐναντίον τῷ ἐναντίῳ, οὐ πᾶν δὲ παντί, ἀλλ' ὅσα τῶν ἐναντίων μὴ μόνον γένεσιν ἐξ ἀλλήλων ἔχουσιν ἀλλὰ καὶ αὔξησιν· γίνεται γὰρ πολλὰ ἐξ ἀλλήλων, ἀλλ' οὐ πάντα ποσά, οἷον ὑγιὲς ἐκ κάμνοντος. φαίνεται δ' οὐδ' ἐκεῖνα τὸν αὐτὸν τρόπον ἀλλήλοις εἶναι τροφή, ἀλλὰ τὸ μὲν ὕδωρ τῷ πυρὶ τροφή, τὸ δὲ πῦρ οὐ τρέφει τὸ ὕδωρ. ἐν μὲν οὖν τοῖς ἁπλοῖς σώμασι ταῦτ' εἶναι δοκεῖ μάλιστα τὸ μὲν τροφὴ τὸ δὲ τρεφόμενον. ἀπορίαν δ' ἔχει· φασὶ γὰρ οἱ μὲν τὸ ὅμοιον τῷ ὁμοίῳ τρέφεσθαι, καθάπερ καὶ αὐξάνεσθαι, τοῖς δ' ὥσπερ εἴπομεν τοὔμπαλιν δοκεῖ, τὸ ἐναντίον τῷ ἐναντίῳ, ὡς ἀπαθοῦς ὄντος τοῦ ὁμοίου ὑπὸ τοῦ ὁμοίου, τὴν δὲ τροφὴν μεταβάλλειν καὶ πέττεσθαι· ἡ δὲ μεταβολὴ πᾶσιν εἰς τὸ ἀντικείμενον ἢ τὸ μεταξύ. ἔτι πάσχει τι ἡ τροφὴ ὑπὸ τοῦ τρεφομένου, ἀλλ' οὐ τοῦτο ὑπὸ τῆς

18 ψυχῆς SUVXP *So 60, 14 cf Ph^p 278, 9 Th 51, 25* : τῆς ψυχῆς ECW **19** (δὴ ἡ X, δὲ καὶ ἡ [καὶ exp] W) (ἡ αὐτὴ] αὐτὴ P) καὶ o *Si^l* : τε καὶ *Ph^l c279, 2* καὶ περὶ ECWy : περὶ SUVXP *Si^l Ph^l c279, 2 Th 51, 27 So 60, 29* **20** διωρίσθαι ECSVX *Si^l Ph^l c279, 2* : διορίσαι WP sscr E[3] *cf So 60, 29* : διωρί—αι dubitans utrum διωρίσθαι an διορίσαι sit scribendum U, in διωρίσθαι corr U[2] : δι.ρίσασθαι y *Th 51, 27* **21** (ἡ τροφὴ εἶναι Wy) **22** (τῶν ἐναντίων ex τωι ἐναντίωι corr E[x] sed ν bis exp) **23** (γέννησιν E) **24** πάντα ποσά] πάντα ECVWP : ποσὰ SUXy, corr E[x], ins C[2], sscr W[2] (οὐχ V) **26** (τῷ πυρὶ μὲν ὕδωρ P) **28** ἁπλοῖς ECVWyP *So 61, 25 cf Si^p 114, 16* : ἄλλοις SUX *Ph^c 282, 30* [ubi tamen ἁπλοῖς esse legendum putat Trendelenburg] **31** (τὸ ἔμπαλιν y, τούπαλιν S) **32** ὑπὸ τοῦ ὁμοίου SUVXy *Ph^c 283, 24 : ^p283, 13 Th 52, 6* : om ECWP ins C[2] **34** ἢ] καὶ X *Ph^c 283, 19 Th 52, 8* (τὸ₂ om E, ins E[3]) **35** (τι om P)

τροφῆς, ὥσπερ οὐδ' ὁ τέκτων ὑπὸ τῆς ὕλης, ἀλλ' ὑπ' ἐκείνου αὕτη· ὁ δὲ τέκτων μεταβάλλει μόνον εἰς ἐνέργειαν ἐξ ἀργίας. πότερον δ' ἐστὶν ἡ τροφὴ τὸ τελευταῖον προσγινόμενον ἢ τὸ πρῶτον, ἔχει διαφοράν· εἰ δ' ἄμφω, ἀλλ' ἡ μὲν ἄπεπτος ἡ δὲ πεπεμμένη, ἀμφοτέρως ἂν ἐνδέχοιτο τὴν τροφὴν λέγειν· ᾗ μὲν γὰρ ἄπεπτος, τὸ ἐναντίον τῷ ἐναντίῳ τρέφεται, ᾗ δὲ πεπεμμένη, τὸ ὅμοιον τῷ ὁμοίῳ. ὥστε φανερὸν ὅτι λέγουσί τινα τρόπον ἀμφότεροι καὶ ὀρθῶς καὶ οὐκ ὀρθῶς. ἐπεὶ δ' οὐθὲν τρέφεται μὴ μετέχον ζωῆς, τὸ ἔμψυχον ἂν εἴη σῶμα τὸ τρεφόμενον, ᾗ ἔμψυχον, ὥστε καὶ ἡ τροφὴ πρὸς ἔμψυχόν ἐστι καὶ οὐ κατὰ συμβεβηκός. ἔστι δ' ἕτερον τροφῇ καὶ αὐξητικῷ εἶναι· ᾗ μὲν γὰρ ποσόν τι τὸ ἔμψυχον, αὐξητικόν, ᾗ δὲ τόδε τι καὶ οὐσία, τροφή· σῴζει γὰρ τὴν οὐσίαν, καὶ μέχρι τούτου ἐστὶν ἕως ἂν τρέφηται· καὶ γενέσεως ποιητικόν, οὐ τοῦ τρεφομένου, ἀλλ' οἷον τὸ τρεφόμενον· ἤδη γάρ ἐστιν αὐτοῦ ἡ οὐσία, γεννᾷ δ' οὐθὲν αὐτὸ ἑαυτό, ἀλλὰ σῴζει. ὥσθ' ἡ μὲν τοιαύτη τῆς ψυχῆς ἀρχὴ δύναμίς ἐστιν οἵα σῴζειν τὸ ἔχον αὐτὴν ᾗ τοιοῦτον, ἡ δὲ τροφὴ παρασκευάζει ἐνεργεῖν. διὸ στερηθὲν τροφῆς οὐ δύναται εἶναι. ἐπεὶ δ' ἐστὶ τρία, τὸ τρεφόμενον 416 b

416 b 3 (ἀργείας y) (ἡ om V) προσγινόμενον **o** *Ph*[l] *So 61, 35* : προσκρινόμενον γρ. mgC[1] *Ph*[p] *284, 9 . 14 . 20* cf *Th 52, 24* *Si*[p] *115, 24* **4** (εἰ δ' ἄμφω om S : ἐπεὶ δ' ἄμφω P) **5** (ἂν] δ' ἂν X) **6** (τῷ ἐναντίῳ om S) **11** (ἔμψ. ἔσται V *So 62, 5*) **14** ἂν τρέφηται SVWXP *Ph*[p] *285, 24* *So 62, 8* : ἂν τρέφη ECy : ἂν καὶ τρέφηται U **15** γενέσεως CUWXy *Ph*[c] *286, 11* *Th 53, 7* : γενέσεως δὲ *Si*[l] : γεννήσεως ESVP, sscr C[2] *So 62, 19* cf *Ph*[p] *286, 13* **16** (ἀλλ' οἷον τὸ τρεφόμενον om V, post ἡ οὐσία ponit W) αὐτοῦ SVWX, corr C[2] *Ph*[p] *286, 18* *So 62, 20* : αὐτὴ ECUyP **17** αὐτὸ ἑαυτό SUX *Ph*[p] *286, 18* *So 62, 21* : ἑαυτὸ ECVW : αὐτό Py **18** ψυχῆς **o**—Cy *Ph*[l] *So 62, 23* : τροφῆς C [sscr ψυχῆς C[2]], y ἔχον SUVXP *Ph*[l c] *286, 26* *So 62, 24* : δεχόμενον EC [exp, sscr ἔχον C[2]], W [sscr ἔχον W[1]], y **19** (στερηθεὶς P)

καὶ ᾧ τρέφεται καὶ τὸ τρέφον, τὸ μὲν τρέφον ἐστὶν ἡ πρώτη ψυχή, τὸ δὲ τρεφόμενον τὸ ἔχον ταύτην σῶμα, ᾧ δὲ τρέφεται, ἡ τροφή. ἐπεὶ δὲ ἀπὸ τοῦ τέλους ἅπαντα προσαγορεύειν δίκαιον, τέλος δὲ τὸ γεννῆσαι οἷον αὐτό, εἴη ἂν ἡ πρώτη ψυχὴ γεννητικὸν οἷον αὐτό. ἔστι δὲ ᾧ τρέφει διττόν, ὥσπερ καὶ ᾧ κυβερνᾷ καὶ ἡ χεὶρ καὶ τὸ πηδάλιον, τὸ μὲν κινοῦν καὶ κινούμενον, τὸ δὲ κινοῦν μόνον. πᾶσαν δ' ἀναγκαῖον τροφὴν δύνασθαι πέττεσθαι, ἐργάζεται δὲ τὴν πέψιν τὸ θερμόν· διὸ πᾶν ἔμψυχον ἔχει θερμότητα. τύπῳ μὲν οὖν ἡ τροφὴ τί ἐστιν εἴρηται· διασαφητέον δ' ἐστὶν ὕστερον περὶ αὐτῆς ἐν τοῖς οἰκείοις λόγοις.

Διωρισμένων δὲ τούτων λέγωμεν κοινῇ περὶ πάσης αἰσθήσεως. ἡ δ' αἴσθησις ἐν τῷ κινεῖσθαί τε καὶ πάσχειν συμβαίνει, καθάπερ εἴρηται· δοκεῖ γὰρ ἀλλοίωσίς τις εἶναι. φασὶ δέ τινες καὶ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου πάσχειν. 5

22 (ἔχον] δεχόμενον P) ταύτην ECWXy *cf Th 59, 13* : αὐτὴν SU [corr ex ταύτην], VP *So 62, 32* **25** γεννητικὴ [ex γεννητικὸν] C^2 *So 62, 35* ᾧ] sscr ὃ W^1y^1 τρέφει CWy *Alex ap Ph 288, 5 Ph*ˡ *p287, 29 cf Th 53, 26* : τρέφεται ESUXP *Si*ˡ *p115, 34 . 35 So 62, 35* **26** καὶ$_1$ ECVWyP *Ph*ˡ *So 62, 37* : om SUX (ᾧ] sscr ὃ W^1) καὶ$_2$ EC [eras], VWy *Ph*ˡ *cf Si*ᵖ *116, 3 Th 53, 29* : om SUXP *So 62, 37* **27** κινοῦν μόνον **o**—ES *Alex ap Ph 288, 5 Si*ᵖ *116, 4 Ph*ᵛ *288, 11 . 20 Th 53, 31* : κινούμενόν μόνον S, γρ. mg W^2 *Ph*ᶜ *288, 20 So 62, 38* [κ. μόνως] : κινοῦμενον (sic) E **28** (δύνασθαι] δυνατὸν W [corr W^2], y) (πέσσεσθαι XP *Th 53, 33*) **29** (θερμότητος S) **30** ἡ τροφὴ τί ἐστιν ECWXy *Si*ˡ *Ph*ᶜ *288, 29 Th 53, 36* : ἡ τροφὴ τίς ἐστιν SU : τί ἐστιν ἡ τροφή V *Th 53, 36 C* : τίς ἐστιν ἡ τροφή P *So 63, 4* [om ἡ] **31** (ἐστὶν om X, del W^x) περὶ **o** *Si*ˡ *Ph*ᶜ *289, 2 Th 53, 36* : ὑπὲρ *Ph*ᶜ *288, 29* **32** (τε X) λέγωμεν ECSUyP *Si*ˡ *bis, Alex ἀπ*ˡ *82, 23* : λέγομεν VW [sscr ω W^1], X *Ph*ˡ *Th 54, 3 So 63, 7* **33** τε EC [corr τι C^x], P ins y^1 *Alex ἀπ*ᵖ *86. 5* : τι SUWX *Alex ἀπ*ᵖ *82. 27 : 86. 20 Si*ˡ *c117, 8 Ph*ˡ *c305. 7 cf Th 54, 5* : τι, τὸ αἰσθητήριον V

τοῦτο δὲ πῶς δυνατὸν ἢ ἀδύνατον, εἰρήκαμεν ἐν τοῖς καθόλου λόγοις περὶ τοῦ ποιεῖν καὶ πάσχειν. ἔχει δ' ἀπορίαν διὰ τί καὶ τῶν αἰσθήσεων αὐτῶν οὐ γίνεται αἴσθησις, καὶ διὰ τί ἄνευ τῶν ἔξω οὐ ποιοῦσιν αἴσθησιν, ἐνόντος πυρὸς καὶ γῆς καὶ τῶν ἄλλων στοιχείων, ὧν ἐστὶν ἡ αἴσθησις καθ' αὑτὰ ἢ τὰ συμβεβηκότα τούτοις. δῆλον οὖν ὅτι τὸ αἰσθητικὸν οὐκ ἔστιν ἐνεργείᾳ, ἀλλὰ δυνάμει μόνον. διὸ καθάπερ τὸ καυστὸν οὐ καίεται αὐτὸ καθ' αὑτὸ ἄνευ τοῦ καυστικοῦ· ἔκαιε γὰρ ἂν ἑαυτό, καὶ οὐθὲν ἐδεῖτο τοῦ ἐντελεχείᾳ πυρὸς ὄντος. ἐπειδὴ δὲ τὸ αἰσθάνεσθαι λέγομεν διχῶς (τό τε γὰρ δυνάμει ἀκοῦον καὶ ὁρῶν ἀκούειν καὶ ὁρᾶν λέγομεν, κἂν τύχῃ καθεῦδον, καὶ τὸ ἤδη ἐνεργοῦν), διχῶς ἂν λέγοιτο καὶ ἡ αἴσθησις, ἡ μὲν ὡς δυνάμει, ἡ δὲ ὡς ἐνεργείᾳ. ὁμοίως δὲ καὶ τὸ αἰσθητόν, 417 a

417 a **1** (τοῦτο ... **2** πάσχειν om U) εἰρήκαμεν ECWyP *cf So 63, 23* : εἴρηται μὲν V *Si*c *117, 25 Ph*c *290, 24* : εἴρηται μὲν καὶ SX *Ph*c *296, 10* **2** post πάσχειν legit ῥηθήσεται δὲ καὶ νῦν P : λεκτέον δὲ καὶ νῦν *Alex*u *ap Ph 290, 25 cf Th 54, 15 So 63, 24* : talia non legerunt *Si*p *117, 25 Ph*p *290, 25* **2** et **4** (διὰ τὸ P) **3** οὐ post αὐτῶν ECVWyP *So 63, 32* : οὐ post **2** τί SUX *Ph*l *cf Th 54, 23* : γὰρ οὐ post **2** τί, om καὶ$_1$ *Si*p *118, 2 . 17* **4** αἴσθησιν ECVWyP *Si*l c*118, 19 So 63, 33* : αἰσθήσεις SUX **5** ἢ ECVWXy *Si*l *Ph*l : om SUP *So 63, 33* (καθ' αὑτὴν P, καθ' αὑτῶν sscr W[2]) (ἢ corr ex καὶ X) (τῶν συμβεβηκότων sscr V[2]W[2]) **6** ἔστιν ECVWXP *Si*l *Ph*l *So 63, 38* : ἔνεστιν SUy **7** (διὸ om W, eras V) καθάπερ] οὐκ αἰσθάνεται καθάπερ X, ins οὐκ αἰσθ. C[2] : καθάπερ οὐκ αἰσθάνεται S (καυστὸν corr in καυστικὸν V) **8** (αὐτὸ om Wy) καθ' αὑτὸ CVWyP *So 64, 3* : καθ' ἑαυτὸ E : ὑφ' ἑαυτοῦ SU *Th 54, 30* : ὑφ' αὑτοῦ X (καυστικοῦ eras ικ V) (ἔκαε X) (ἂν om W) **9** αὑτό XP *So 63, 4* : αὐτό SUy (οὐδὲ X) (ὄντος] εἶναι W, sscr γρ. ὄντος W[1]) (ἐπεὶ XP) **10** (διχῶς λέγομεν W) (ἀκοῦον om V, post **11** ὁρῶν suppl V[2], ὁρῶν καὶ ἀκοῦον Wy) **11** καὶ ἐὰν SUX **13** (δύναμις ... ἐνέργεια P) αἰσθητὸν *Alex ἀπ*p *83, 6* : αἰσθάνεσθαι **O** *Si*l p*120, 2 Ph*c *295, 32* ; p*305, 19 Th 55, 5*

τό τε δυνάμει ὂν καὶ τὸ ἐνεργείᾳ. πρῶτον μὲν οὖν ὡς τοῦ αὐτοῦ ὄντος τοῦ πάσχειν καὶ τοῦ κινεῖσθαι καὶ τοῦ ἐνεργεῖν λέγωμεν· καὶ γάρ ἐστιν ἡ κίνησις ἐνέργειά τις, ἀτελὴς μέντοι, καθάπερ ἐν ἑτέροις εἴρηται. πάντα δὲ πάσχει καὶ κινεῖται ὑπὸ τοῦ ποιητικοῦ καὶ ἐνεργείᾳ ὄντος. διὸ ἔστι μὲν ὡς ὑπὸ τοῦ ὁμοίου πάσχει, ἔστι δὲ ὡς ὑπὸ τοῦ ἀνομοίου, καθάπερ εἴπομεν· πάσχει μὲν γὰρ τὸ ἀνόμοιον, πεπονθὸς δ' ὅμοιόν ἐστιν.

διαιρετέον δὲ καὶ περὶ δυνάμεως καὶ ἐντελεχείας· νῦν γὰρ ἁπλῶς λέγομεν περὶ αὐτῶν. ἔστι μὲν γὰρ οὕτως ἐπιστῆμόν τι ὡς ἂν εἴποιμεν ἄνθρωπον ἐπιστήμονα, ὅτι ὁ ἄνθρωπος τῶν ἐπιστημόνων καὶ ἐχόντων ἐπιστήμην. ἔστι δ' ὡς ἤδη λέγομεν ἐπιστήμονα τὸν ἔχοντα τὴν γραμματικήν· ἑκάτερος δὲ τούτων οὐ τὸν αὐτὸν τρόπον δυνατός ἐστιν, ἀλλ' ὁ μὲν ὅτι τὸ γένος τοιοῦτον καὶ ἡ ὕλη, ὁ δ' ὅτι βουληθεὶς

14 (μὲν ins X^{x}) οὖν **o**—V *Ph*^{l} ^{c}*296, 12* : om V *Si*^{l} ὡς τοῦ **o**—P *Si*^{l} *Ph*^{l} *So 66, 12* : ὡς οὐ τοῦ P *Th 55, 6* **15** τοῦ$_{4}$ SUXP *Si*^{l} : om ECVWy *Ph*^{l} ^{c}*296, 13 ; 298, 27* **16** λέγωμεν EC : λέγομεν SUVWXyP *Si*^{l} *Ph*^{l} ^{c}*296, 13 ; 298, 27* *So 66, 12* **17** (εἴρηται ἐν ἑτέροις W) **18** (ὑπὸ] καὶ ὑπὸ U) **19** τοῦ$_{1}$ **o** *Si*^{l} *Ph*^{p} *305, 24* *Th 55, 13* *So 64, 10* : om *Alex ἀπ*^{p} *83, 11* τοῦ$_{2}$ **o** *Th 55, 14* *So 64, 11* : om *Alex ἀπ*^{p} *83, 11* *Si*^{l} *Ph*^{p} *305, 24* **20** (μὲν om X *So 64, 12*) τὸ **o**—S *Th 55, 14* *So 64, 12* : om S *Alex ἀπ*^{c} *83, 12* (ἀνόμοιον ὂν U) «Universum hunc locum cum omnibus corruptelis laudat Joh. Philoponus, κατὰ Πρόκλου, περὶ ἀιδιότητος τοῦ κόσμου Δ', ζ'» To p 142, n. **21** καὶ$_{1}$ **o**—SX *Si*^{l} *Ph*^{l} : om SX **22** νῦν γὰρ **o**—WP *Si*^{l} *Ph*^{l} *So 66, 27* : νῦν μὲν γὰρ WP ins C^{x} λέγομεν **o** *Ph*^{l} *So 66, 27* : λέγομεν ἃ λέγομεν *Si*^{l} **23** (ἐπιστήμων τις P) εἴποιμεν SUX *Ph*^{l} *So 66, 31* : εἴπωμεν ECVWyP **24** (ἐχόντων ἐπιστήμην καὶ ἐπιστημόνων W) ἐχόντων ECVWyP *Ph*^{l} : τῶν ἐχόντων SUX **25** ἐπιστήμονα] ἐπίστασθαι SX τὴν om VP **26** (ἑκάτερον V) **27** (ὅτι ins V^{2}) (τοιοῦτον τὸ γένος V) ἡ **o**—V *Ph*^{l} ^{p}*299, 29* *So 66, 36* : om V *Si*^{c} *121, 19* (ὕλην eras ν V) (post ὅτι$_{2}$ ins εἰ V^{x}) (βουληθείη V)

δυνατὸς θεωρεῖν, ἂν μή τι κωλύσῃ τῶν ἔξωθεν· ὁ δ' ἤδη θεωρῶν, ἐντελεχείᾳ ὢν καὶ κυρίως ἐπιστάμενος τόδε τὸ Α. ἀμφότεροι μὲν οὖν οἱ πρῶτοι κατὰ δύναμιν ἐπιστήμονες, ἀλλ' ὁ μὲν διὰ μαθήσεως ἀλλοιωθεὶς καὶ πολλάκις ἐξ ἐναντίας μεταβαλὼν ἕξεως, ὁ δ' ἐκ τοῦ ἔχειν τὴν αἴσθησιν ἢ τὴν γραμματικήν, μὴ ἐνεργεῖν δ' εἰς τὸ ἐνεργεῖν ἄλλον **417 b** τρόπον. οὐκ ἔστι δ' ἁπλοῦν οὐδὲ τὸ πάσχειν, ἀλλὰ τὸ μὲν φθορά τις ὑπὸ τοῦ ἐναντίου, τὸ δὲ σωτηρία μᾶλλον τοῦ δυνάμει ὄντος ὑπὸ τοῦ ἐντελεχείᾳ ὄντος καὶ ὁμοίου οὕτως ὡς δύναμις ἔχει πρὸς ἐντελέχειαν· θεωροῦν γὰρ γίγνεται τὸ ἔχον τὴν ἐπιστήμην, ὅπερ ἢ οὐκ ἔστιν ἀλλοιοῦσθαι (εἰς αὑτὸ γὰρ ἡ ἐπίδοσις καὶ εἰς ἐντελέχειαν) ἢ ἕτερον γένος ἀλλοιώσεως. διὸ οὐ καλῶς ἔχει λέγειν τὸ φρονοῦν, ὅταν φρονῇ, ἀλλοιοῦσθαι, ὥσπερ οὐδὲ τὸν οἰκοδόμον ὅταν οἰκοδομῇ. τὸ μὲν οὖν εἰς ἐντελέχειαν ἄγον ἐκ δυνάμει ὄντος κατὰ τὸ νοοῦν καὶ φρονοῦν οὐ διδασκαλίαν ἀλλ' ἑτέραν ἐπωνυμίαν ἔχειν δίκαιον· τὸ δ' ἐκ δυνάμει ὄντος μανθάνον καὶ λαμβάνον ἐπι-

28 ἂν ECWyP *Ph*ˡ *So 66, 37* : ἐὰν SUVX *Si*ᶜ *121, 25* κωλύσῃ **o** *Ph*ˡ ᵖ*300, 1 cf So 66, 37* [κωλύσοι : κωλύῃ *Si*ᶜ *121, 25 cf Th 55, 22* **29** (ὢν om V) (τόδε τὸ] δὲ τὸ το S : ὅτι τόδε W : ὅτι τόδε τι y) **31** (καὶ ἀλλοιωθεὶς καὶ X) **32** μεταβαλὼν **o**—SX *Si*ᶜ *121, 35 So 67, 2* : μεταβάλλων SX *Ph*ˡ ᵖ*300, 11* [μεταβαλλὼν (sic) *D*] *cf Th 55, 26* αἴσθησιν **o** *Si*ˡ ᵖ*122, 30 Ph*ᶜ *300, 20 So 67, 3* : ἀριθμητικὴν ut v *Th 55, 28*

417 b 2 (δὲ οὐδὲ τὸ πάσχειν ἁπλοῦν [οὐδὲ ins W²] W) (πάσχον V) **3** σωτηρία **o**—V *Ph*ˡ ᶜ*302, 5 So 67, 8* : γένεσις καὶ σωτηρία V *Si*ˡ (μᾶλλον ὑπὸ τοῦ X) **4** (ἐντελεχείᾳ ὄντος X) (ὁμοῦ S) **6** τὴν **o**—SX *Alex ἀπ*ˡ *81, 5.* ᶜ*11 ; 84, 7 Ph*ᶜ *303, 8 Th 55, 36* : om SX *Alex ἀπ*ˡ *80, 4* ἢ **o** *Ph*ᶜ *303, 16 Th 28, 29* : om *Alex ἀπ*ˡ *80, 4 ; 81, 6.* ᶜ*11 ; 84, 13* (ἑαυτὸ X *So 67, 14*) **7** (εἰς ἐντ.] ἡ ἐντελέχεια V) (γένος] εἶδος V) **9** (ὥσπερ om V) (τὸ οἰκοδομοῦν *Ph*ˡ *D*) **10** (ἀνάγον ἐκ τοῦ δυν. y : ἀλλ' ἐκ δυν. P) (ὄντος . . . νοοῦν ins y²) νοεῖν καὶ φρονεῖν *Alex ἀπ 81, 16* : νοοῦν καὶ τὸ φρονοῦν *Ph*ˡ **12** (ὄντος κατὰ τὸ νοοῦν καὶ φρονοῦν μανθάνον X)

στήμην ὑπὸ τοῦ ἐντελεχείᾳ ὄντος καὶ διδασκαλικοῦ ἤτοι οὐδὲ πάσχειν φατέον, [ὥσπερ εἴρηται,] ἢ δύο τρόπους εἶναι ἀλλοιώσεως, τήν τε ἐπὶ τὰς στερητικὰς διαθέσεις μεταβολὴν καὶ τὴν ἐπὶ τὰς ἕξεις καὶ τὴν φύσιν. τοῦ δ' αἰσθητικοῦ ἡ μὲν πρώτη μεταβολὴ γίνεται ὑπὸ τοῦ γεννῶντος, ὅταν δὲ γεννηθῇ, ἔχει ἤδη ὥσπερ ἐπιστήμην καὶ τὸ αἰσθάνεσθαι. καὶ τὸ κατ' ἐνέργειαν δὲ ὁμοίως λέγεται τῷ θεωρεῖν· διαφέρει δέ, ὅτι τοῦ μὲν τὰ ποιητικὰ τῆς ἐνεργείας ἔξωθεν, τὸ ὁρατὸν καὶ τὸ ἀκουστόν, ὁμοίως δὲ καὶ τὰ λοιπὰ τῶν αἰσθητῶν. αἴτιον δ' ὅτι τῶν καθ' ἕκαστον ἡ κατ' ἐνέργειαν αἴσθησις, ἡ δ' ἐπιστήμη τῶν καθόλου· ταῦτα δ' ἐν αὐτῇ πώς ἐστι τῇ ψυχῇ. διὸ νοῆσαι μὲν ἐπ' αὐτῷ, ὁπόταν βούληται, αἰσθάνεσθαι δ' οὐκ ἐπ' αὐτῷ· ἀναγκαῖον γὰρ ὑπάρχειν τὸ αἰσθητόν. ὁμοίως δὲ τοῦτ' ἔχει κἀν ταῖς ἐπιστήμαις ταῖς τῶν αἰσθητῶν, καὶ διὰ τὴν αὐτὴν αἰτίαν, ὅτι τὰ αἰσθητὰ τῶν καθ' ἕκαστα καὶ τῶν ἔξωθεν.

ἀλλὰ περὶ μὲν τούτων διασαφῆσαι καιρὸς γένοιτ' ἂν καὶ εἰσαῦθις. νῦν δὲ διωρίσθω τοσοῦτον, ὅτι

13 (ἤτοι] εἶτα V) (οὐδὲν X) **14** ὥσπερ εἴρηται ECVWyP *So 67, 24* : om SUX *cf Alex ἀπ*^{p} *84, 26 Ph*^{p} *304, 16. 18 Th 56, 7* **16** (τὴν$_1$ om V) (ἐπὶ ante τὴν$_2$ eras V) (δ' om P) **18** (καὶ$_1$ om W) καὶ$_2$ SWXyP *Alex ἀπ*^{c} *85, 3 Si*^{p} *123, 34 Ph*^{c} *307, 16* : om EC [ins C^2], U : καὶ τὸ om V **19** δὲ UWXyP *Alex ἀπ*^{c} *85, 4 Ph*^{c} *307, 16* : om SV : post ὁμοίως EC [exp et ins ante ὁμ. C^2] τῷ ESUWXy *Alex ἀπ 85, 4 Ph*^{c} *307, 17 So 69, 27 AC* : τὸ CP, [corr in τῷ] V *So 69, 27 B* **21** λοιπὰ ECVWyP *So 69, 29* : λοιπὰ ἀπὸ SU : ἄλλα ἀπὸ [sed corr in ἄλλα] X **23** (ἔσται P *So 69, 31*) **24** (διὸ τὸ νοῆσαι V) (αὐτῶι ex αὐτῶν E) ὁπόταν ECSUyP : ὅταν VWX *So 69, 31* : ἐστιν ὅταν *Si*^{l} (βούλεται V) **25** (γὰρ] μὲν γὰρ P) **26** τοῦτο ECVWyP *Ph*^{l} *So 69, 33* : τούτω UX *Si*^{l} : τούτοις S ταῖς$_2$ o—XP *Si*^{l} *So 59, 33* : om XP *Ph*^{l} **28** (ἕκαστον V) **29** (ἂν γένοιτο X) διωρίσθω τοσοῦτον EVXyP *So 70, 9* : διωρίσθω τοῦτο CSU [corr in τοσοῦτον] : ἐπὶ τοσοῦτον διωρίσθω W

οὐχ ἁπλοῦ ὄντος τοῦ δυνάμει λεγομένου, ἀλλὰ τοῦ μὲν ὥσπερ ἂν εἴποιμεν τὸν παῖδα δύνασθαι στρατηγεῖν, τοῦ δὲ ὡς τὸν ἐν ἡλικίᾳ ὄντα, οὕτως ἔχει τὸ αἰσθητικόν. ἐπεὶ δ' ἀνώνυμος αὐτῶν ἡ διαφορά, διώρισται δὲ περὶ αὐτῶν ὅτι ἕτερα καὶ 418 πῶς ἕτερα, χρῆσθαι ἀναγκαῖον τῷ πάσχειν καὶ ἀλλοιοῦσθαι ὡς κυρίοις ὀνόμασιν. τὸ δ' αἰσθητικὸν δυνάμει ἐστὶν οἷον τὸ αἰσθητὸν ἤδη ἐντελεχείᾳ, καθάπερ εἴρηται. πάσχει μὲν οὖν οὐχ ὅμοιον ὄν, πεπονθὸς δ' ὡμοίωται καὶ ἔστιν οἷον ἐκεῖνο.

6 Λεκτέον δὲ καθ' ἑκάστην αἴσθησιν περὶ τῶν αἰσθητῶν πρῶτον. λέγεται δὲ τὸ αἰσθητὸν τριχῶς, ὧν δύο μὲν καθ' αὑτά φαμεν αἰσθάνεσθαι, τὸ δὲ ἓν κατὰ συμβεβηκός. τῶν δὲ δύο τὸ μὲν ἴδιόν ἐστιν ἑκάστης αἰσθήσεως, τὸ δὲ κοινὸν πασῶν. λέγω δ' ἴδιον μὲν ὃ μὴ ἐνδέχεται ἑτέρᾳ αἰσθήσει αἰσθάνεσθαι, καὶ περὶ ὃ μὴ ἐνδέχεται ἀπατηθῆναι, οἷον ὄψις χρώματος καὶ ἀκοὴ ψόφου καὶ γεῦσις χυμοῦ. ἡ δ' ἁφὴ πλείους μὲν ἔχει διαφοράς· ἀλλ' ἑκάστη γε κρίνει περὶ τούτων, καὶ οὐκ ἀπατᾶται ὅτι χρῶμα οὐδ' ὅτι ψόφος, ἀλλὰ τί τὸ κεχρωσμένον ἢ ποῦ, ἢ τί τὸ ψοφοῦν ἢ ποῦ. τὰ

31 εἴποιμεν ECVWyP *So 70, 11* : εἴπωμεν SUX
418ᵃ **2** (ἕτερα καὶ ὅτι ἕτερα γρ. W) χρῆσθαι EUVWP *Ph¹ r309, 6 So 70, 15* : χρῆσθαι δ' C [eras δ'], SXy τῷ UVXyP *Ph¹ So 70, 15* : τὸ ECSW [corr in τῷ Cˣ W²] **3** δ' UVWXyP *Ph¹ So 70, 16* : om EC [ins Cˣ], S **4** (ἤδη ὡς ἐντ. S) (ἐντελέχεια corr ex ἐντελεχείᾳ X) πάσχει o—P *Ph¹ So 70, 17* : πάσχον P *Th 56, 32* **5** ὂν o—SP *Ph¹ So 70, 17* : om SP *Th 56, 33* **8** (ὧν] ὡς S : οἷον y) δυοῖν SUX **10** (μὲν ἓν ἴδιον V) αἰσθήσεως] τῆς αἰσθήσεως Wy : om V **11** ἑτέρᾳ . . . **12** ἐνδέχεται om P [suppl mg P²], *So 70, 25* **12** (αἴσθεσθαι *Ph¹ D*) **14** (πλείστας V) (μὲν] μόνον corr μὲν Vˣ) (ἕκαστον γε P) **15** (τούτου V : αὐτῶν y) (οὐδ'] ἢ X) **16** (ἢ ποῦ₁ om U) (ἢ τί . . . ποῦ om V) (ἢ ποῦ₂ om W)

μὲν οὖν τοιαῦτα λέγεται ἴδια ἑκάστου, κοινὰ δὲ κίνησις, ἠρεμία, ἀριθμός, σχῆμα, μέγεθος· τὰ γὰρ τοιαῦτα οὐδεμιᾶς ἐστὶν ἴδια, ἀλλὰ κοινὰ πάσαις. καὶ γὰρ ἁφῇ κίνησίς τίς ἐστιν αἰσθητὴ καὶ ὄψει. κατὰ συμβεβηκὸς δὲ λέγεται αἰσθητόν, οἷον εἰ τὸ λευκὸν εἴη Διάρους υἱός, κατὰ συμβεβηκὸς γὰρ τούτου αἰσθάνεται, ὅτι τῷ λευκῷ συμβέβηκε τοῦτο οὗ αἰσθάνεται. διὸ καὶ οὐδὲν πάσχει ᾗ τοιοῦτον ὑπὸ τοῦ αἰσθητοῦ. τῶν δὲ καθ' αὑτὰ αἰσθητῶν τὰ ἴδια κυρίως ἐστὶν αἰσθητά, καὶ πρὸς ἃ ἡ οὐσία πέφυκεν ἑκάστης αἰσθήσεως.

Οὗ μὲν οὖν ἐστὶν ἡ ὄψις, τοῦτ' ἐστὶν ὁρατόν. ὁρατὸν δ' 7
ἐστὶ χρῶμα μέν, καὶ ὃ λόγῳ μὲν ἔστιν εἰπεῖν, ἀνώνυμον δὲ τυγχάνει ὄν· δῆλον δὲ ἔσται ὃ λέγομεν προελθοῦσι μά-

17 (οὖν om P, suppl P^{2}) ἑκάστου ECSyP *Ph^{l} t:* ἑκάστης W *cf Th 57, 36 So 70, 33 :* ἑκάστῃ UVX **19** πάσαις ECVWyP *Ph$^{l\,p}$315, 10 t* [πασῶν], *Th 57, 38* [ἁπασῶν]: om S [πάντων mg S^{2}], UX γὰρ ἀφὴ [corr in ἁφῇ C^{2}] C : γὰρ ἡ ἀφὴ E [corr in ἁφῇ E^{x}] : γὰρ καὶ ἁφῇ *Ph^{l} t* [ex Arist. ed. Ald.] (τίς] τε V : om P, [eras ?] U) **20** (ἐστιν om X) (αἰσθητικὴ S) (ὄψει ει in ras C^{2}) post ὄψει habent : καθ' αὑτὰ μὲν οὖν ἐστιν αἰσθητὰ ταῦτα Ald et omnes ante Bk edd *cf So 70, 36* αἰσθητόν **o** *Ph^{l} :* εἶναι αἰσθητὰ *Si^{l}* **21** διάρους υἱός SUXPW^{2}y^{2} *Si^{p} 127, 27 ; 128, 14 Ph^{v} 315, 24 So 71, 4 B :* διάρρους υἱός EC *So 71, 4 AC:* διάρρου υἱός V : διάρης W *Ph$^{l\,p}$315, 24 :* διάρος y : «ὁ Διάρους υἱὸς ἢ ὁ Διάρης» *Th 58, 7* **22** (τοῦτο P) αἰσθάνεσθαι UX (διότι V) (τὸ λευκὸν W) **23** (ᾧ V) (αἰσθάνεσθαι U, corr U^{x}) καὶ ECWXyP *Si^{l} Th 58, 14 So 71, 7 :* om SUV *Ph^{l}* ᾗ ECVWyP *Si^{l} Ph^{l} Th 58, 15 So 71, 7 :* om SUX **24** (κυρίως τὰ ἴδια W) **26** (οὖν om P) (ἡ om SU) (ὁρατόν$_{1}$] ὃ ὁρᾶται *Ph^{l}*) (ὁρατὸν$_{2}$ om X) (δ' ἐστὶ] ἔστι δὲ X : δὲ P) **27** χρῶμα μὲν EC [corr in τε C^{x}], WP *cf So 72, 24 :* χρῶμά τε S U [τε in ras], VXy *Si^{l} 129, 36 Ph$^{l\,p}$319, 9 ; 346, 25 cf Si^{p} 129, 37 :* χρῶμα *Si^{l} 129, 1.1* **28** (ἐστὶν P *So 72, 26*) ὃ λέγομεν om U : τε ὃ λέγομεν post **29** ὁρατόν SX μάλιστα ECWyP *So 72, 27 :* μᾶλλον V : om SUX

λιστα. τὸ γὰρ ὁρατόν ἐστι χρῶμα. τοῦτο δ' ἐστὶ τὸ ἐπὶ τοῦ καθ' αὐτὸ ὁρατοῦ· καθ' αὐτὸ δὲ οὐ τῷ λόγῳ, ἀλλ' ὅτι ἐν ἑαυτῷ ἔχει τὸ αἴτιον τοῦ εἶναι ὁρατόν. πᾶν δὲ χρῶμα κινητικόν ἐστι τοῦ κατ' ἐνέργειαν διαφανοῦς, καὶ τοῦτ' ἔστιν αὐτοῦ ἡ 418 b
φύσις. διόπερ οὐχ ὁρατὸν ἄνευ φωτός, ἀλλὰ πάντως ἕκαστον χρῶμα ἐν φωτὶ ὁρᾶται. διὸ περὶ φωτὸς πρῶτον λεκτέον τί ἐστιν. ἔστι δή τι διαφανές. διαφανὲς δὲ λέγω ὃ ἔστι μὲν ὁρατόν, οὐ καθ' αὐτὸ δὲ ὁρατὸν ὡς ἁπλῶς εἰπεῖν, ἀλλὰ δι' ἀλλότριον χρῶμα. τοιοῦτον δέ ἐστιν ἀὴρ καὶ ὕδωρ καὶ πολλὰ τῶν στερεῶν· οὐ γὰρ ᾗ ὕδωρ οὐδ' ᾗ ἀὴρ διαφανές, ἀλλ' ὅτι ἐστί τις φύσις ἐνυπάρχουσα ἡ αὐτὴ ἐν τούτοις ἀμφοτέροις καὶ ἐν τῷ ἀϊδίῳ τῷ ἄνω σώματι. φῶς δέ ἐστιν ἡ τούτου ἐνέργεια, τοῦ διαφανοῦς ᾗ διαφανές. δυνάμει δὲ ἐν ᾧ τοῦτ' ἐστὶ καὶ τὸ σκότος. τὸ δὲ φῶς οἷον χρῶμά ἐστι τοῦ διαφανοῦς, ὅταν ᾖ ἐντελεχείᾳ διαφανὲς ὑπὸ πυρὸς ἢ τοιούτου, οἷον τὸ ἄνω

29 (ἐστι₁ om U) (τὸ₂ om [eras ?] V) τοῦ ... **30** ὁρατοῦ SUVXyP *Si^c 130, 7 Ph^l p320, 6 . 7 So 72, 28* : τῶν ... ὁρατῶν E [sscr bis -ου E³], CW **30** (ἀλλ' om P) **31** ἑαυτῷ ECSWy *Ph^l p320, 18 cf Th 58, 31 So 72, 35* : αὐτῷ X : αὐτῷ UV (ἔχει om [eras ?] V)
418 b **2** (διότι y) πάντως ἕκαστον SUX *Th 59, 7 cf Si^p 131, 14* : πᾶν τὸ ἑκάστου ECVWyP *So 73, 11* **3** ὁρᾶται ECWyP *So 73, 11* : καθορᾶται V : ὁρατόν SUX *Th 59, 7* (λεκτέον πρῶτον P) (πρότερον W) λεκτέον **o**—X *Th 59, 8 So 73, 11* : ληπτέον X *Si^l* **4** (ὃ] ὅτι P) **5** ἁπλῶς εἰπεῖν ECSVWyP *Th 59, 11 So 73, 13* : εἰπεῖν ἁπλῶς UX : εἰπεῖν *Ph^l* **6** (καὶ₁ om X) **7** post στερεῶν add οἷον ὕελος κρύσταλλος C [uncis incl], mg U² *cf Ph^p 324, 4 Th 59, 13 So 73, 15* οὐδ' ECVWyP *Th 59, 16 So 73, 15* : ἢ SUX (ᾗ₂ om X) **8** τις UX *Th 59, 17 So 73, 16 cf Ph^p 319, 14 ; 324, 8* : om **o**—UX ἐνυπάρχουσα SUVXP *Th 59, 17* : ὑπάρχουσα ECWy **10** (διαφανές] διαφανοῦς y) ἐν ᾧ **o**—U *Si^l So 74, 28* : ἐν οἷς U *Ph^c 341, 10 D²* [ἐγγὺς περὶ φωτὸς *D¹t*] *cf Th 59, 31* (τοῦτο ante ἐν W : om *Si^l*) (καὶ eras V) (τὸ ins W²) **11** (ᾗ E) **12** ὑπὸ **o**—XP *Ph^l* : ὑπὸ τοῦ XP, ins τοῦ y² *So 74, 30*

σῶμα· καὶ γὰρ τούτῳ τι ὑπάρχει ἓν καὶ ταὐτόν. τί μὲν οὖν τὸ διαφανὲς καὶ τί τὸ φῶς, εἴρηται, ὅτι οὔτε πῦρ οὔθ' ὅλως σῶμα οὐδ' ἀπορροὴ σώματος οὐδενός (εἴη γὰρ ἂν σῶμά τι καὶ οὕτως), ἀλλὰ πυρὸς ἢ τοιούτου τινὸς παρουσία ἐν τῷ διαφανεῖ· οὔτε γὰρ δύο σώματα ἅμα δυνατὸν ἐν τῷ αὐτῷ εἶναι, δοκεῖ τε τὸ φῶς ἐναντίον εἶναι τῷ σκότει· ἔστι δὲ τὸ σκότος στέρησις τῆς τοιαύτης ἕξεως ἐκ διαφανοῦς, ὥστε δῆλον ὅτι καὶ ἡ τούτου παρουσία τὸ φῶς ἐστίν· καὶ οὐκ ὀρθῶς Ἐμπεδοκλῆς, οὐδ' εἴ τις ἄλλος οὕτως εἴρηκεν, ὡς φερομένου τοῦ φωτὸς καὶ τεινομένου ποτὲ μεταξὺ τῆς γῆς καὶ τοῦ περιέχοντος, ἡμᾶς δὲ λανθάνοντος· τοῦτο γάρ ἐστι καὶ παρὰ τὴν τοῦ λόγου ἐνάργειαν καὶ παρὰ τὰ φαινόμενα· ἐν μικρῷ μὲν γὰρ διαστήματι λάθοι ἄν, ἀπ' ἀνατολῆς δ' ἐπὶ δυσμὰς τὸ λανθάνειν μέγα λίαν τὸ αἴτημα. ἔστι δὲ χρώματος μὲν δεκτικὸν τὸ ἄχρουν, ψόφου δὲ τὸ ἄψοφον.

13 τούτῳ **o**—S *Php 342, 31 :* τοῦτο S *Phc 342, 30 D So 74, 30* τι ὑπάρχει ECUVWy : ὑπάρχει τι SXP *So 74, 30 :* ὑπάρχει *Phc 342, 31* (ταὐτό P *So 74, 31*) **14** (τὸ$_1$ om X) (εἴρηται καὶ τί τὸ φῶς V [εἴρηται suppl V² ut v]) **17** οὔτε UX *Phl :* οὐδὲ **o**—UX *Sil* δυνατὸν ante ἅμα SX *Sil :* post εἶναι V : post σώματα, et ἅμα post αὐτῷ *Phl* **18** τε ECSWy *Sil Phl :* δὲ UVXP (εἶναι om V) σκότει VXP *Sil So 75, 22 :* σκότῳ ECSUW,[corr in -ει] y *Phl* τὸ$_2$ om V : ὁ *Phl* **19** (τῆς om Sy, ins yˣ) (ἐν διαφανεῖ P) **20** (καὶ$_1$] κἂν y, sscr καὶ yˣ) ἡ τούτου παρουσία τὸ φῶς ECVWyP *Th 60, 21 So 75, 23 :* τὸ φῶς ἡ τούτου παρουσία SU [sed τὸ φῶς suppl U²], X *Sip 134, 28* **21** οὐδ' **o** *Th 60, 27 :* ἢ *Phl* (εἰ om V) οὕτως **o**—S *Phc 345, 13 Th 60, 28 So 75, 25 :* om S *PhlD :* περὶ τούτου corr X² **22** τεινομένου ECV : γιγνομένου SUWXyP *Phl Th 60, 28 So 75, 25* **23** (καὶ om W) (περὶ y) **24** τοῦ λόγου ECVWyP *So 75. 27 :* ἐν τῷ λόγῳ SUX *Th 60, 31* ἐνάργειαν yP corr Cˣ sscr Wˣ *So 75, 27 :* ἐνέργειαν ECW : ἀλήθειαν SUVX *Th 60, 31* (περὶ Sy) **25** (μὲν om W) (διαστίγματι ut v X, corr X²) **26** (δὲ] μὲν S) **27** (δὲ om P)

ἄχρουν δ' ἐστὶ τὸ διαφανὲς καὶ τὸ ἀόρατον ἢ τὸ μόλις ὁρώμενον, οἷον δοκεῖ τὸ σκοτεινόν. τοιοῦτον δὲ τὸ διαφανὲς μέν, ἀλλ' οὐχ ὅταν ᾖ ἐντελεχείᾳ διαφανές, ἀλλ' ὅταν δυνάμει· ἡ γὰρ αὐτὴ φύσις ὁτὲ μὲν σκότος ὁτὲ δὲ φῶς ἐστίν. οὐ πάντα δὲ ὁρατὰ ἐν φωτί ἐστιν, ἀλλὰ μόνον ἑκάστου 419a
τὸ οἰκεῖον χρῶμα· ἔνια γὰρ ἐν μὲν τῷ φωτὶ οὐχ ὁρᾶται, ἐν δὲ τῷ σκότει ποιεῖ αἴσθησιν, οἷον τὰ πυρώδη φαινόμενα καὶ λάμποντα (ἀνώνυμα δ' ἐστὶ ταῦτα ἑνὶ ὀνόματι), οἷον μύκης, κέρας, κεφαλαὶ ἰχθύων καὶ λεπίδες καὶ ὀφθαλμοί· ἀλλ' οὐδενὸς ὁρᾶται τούτων τὸ οἰκεῖον χρῶμα. δι' ἣν μὲν οὖν αἰτίαν ταῦτα ὁρᾶται, ἄλλος λόγος· νῦν δ' ἐπὶ τοσοῦτον φανερόν ἐστιν, ὅτι τὸ μὲν ἐν φωτὶ ὁρώμενον χρῶμα. διὸ καὶ οὐχ ὁρᾶται ἄνευ φωτός· τοῦτο γὰρ ἦν αὐτῷ τὸ χρώματι εἶναι, τὸ κινητικῷ εἶναι τοῦ κατ' ἐνέργειαν διαφανοῦς· ἡ δ' ἐντελέχεια τοῦ διαφανοῦς φῶς ἐστίν. σημεῖον δὲ τούτου φανερόν· ἐὰν γάρ τις θῇ τὸ ἔχον χρῶμα ἐπ' αὐτὴν τὴν ὄψιν, οὐκ ὄψεται· ἀλλὰ τὸ μὲν χρῶμα κινεῖ τὸ δια-

28 (ἄχροον V) (ἐστὶ om P) τὸ$_2$ om P *Si*[c] *134, 34* *Ph*[l] *So 78, 34* τὸ$_3$ **o** *Ph*[l] *So 78, 34* : om *Si*[c] *134, 35* μόλις **o**—X *Si*[p] *134, 35* *Th 61, 6* *So 78, 34* : μόγις X *Ph*[l] *c346, 6 . 8* **29** (σκοτεινόν] ἐσκοτισμένον Wy) (ἀφανὲς V)

419a 1 (ἐστίν$_1$ om C) (ὁρᾶται τὰ X, om mox ἐστιν$_2$) (ἑκάστῳ V) **2** (μὲν om P) **3** σκότει **o**—EC *So 79, 2* : σκότῳ EC *Th 61, 11* (πυρρώδη E) **4** (εἰσὶ C) **5** (καὶ$_1$ om UX) (λωπίδες E [ω in ε corr E[x]], C) (καὶ$_2$ om X) **6** (τούτων post χρῶμα P *So 79, 5*) (τούτων τὸ] τοῦτο C : τούτων W) **7** ὁρᾶται **o**—EC *Si*[l] *Th 61, 21* *So 79, 15* *cf Ph*[p] *348, 10* : ὁρατὰ EC *Ph*[l] **9** καὶ SUX *Ph*[l] : om ECVWyP *So 83, 23* αὐτῷ **o**—W *Th 61, 36* *So 83, 24* : αὐτὸ W τὸ CVP *Si*[l] *So 83, 24* : τῷ E [corr in τὸ E[x]], Wy [corr in τὸ] : om SUX *Th 61, 36* **10** (τῶ eras ω, in ras ὁ E[x]) (κινητὴν S) **11** (ἡ δ' . . . **17** εἴη om sed mg suppl V[1]) **12** (εἰ γὰρ ἄν τις W : εἰ γὰρ τις P *So 83, 27*) θῇ **o**—WX *Ph*[l] *Th 62, 8* : θείη WX *So 83, 27*

φανές, οἷον τὸν ἀέρα, ὑπὸ τούτου δὲ συνεχοῦς ὄντος κινεῖται τὸ αἰσθητήριον. οὐ γὰρ καλῶς τοῦτο λέγει Δημόκριτος οἰόμενος, εἰ γένοιτο κενὸν τὸ μεταξύ, ὁρᾶσθαι ἂν ἀκριβῶς καὶ εἰ μύρμηξ ἐν τῷ οὐρανῷ εἴη· τοῦτο γὰρ ἀδύνατόν ἐστιν. πάσχοντος γάρ τι τοῦ αἰσθητικοῦ γίνεται τὸ ὁρᾶν· ὑπ' αὐτοῦ μὲν οὖν τοῦ ὁρωμένου χρώματος ἀδύνατον· λείπεται δὴ ὑπὸ τοῦ μεταξύ, ὥστ' ἀναγκαῖόν τι εἶναι μεταξύ· κενοῦ δὲ γενομένου οὐχ ὅτι ἀκριβῶς, ἀλλ' ὅλως οὐθὲν ὀφθήσεται.

δι' ἣν μὲν οὖν αἰτίαν τὸ χρῶμα ἀναγκαῖον ἐν φωτὶ ὁρᾶσθαι, εἴρηται. πῦρ δὲ ἐν ἀμφοῖν ὁρᾶται, καὶ ἐν σκότει καὶ ἐν φωτί, καὶ τοῦτο ἐξ ἀνάγκης· τὸ γὰρ διαφανὲς ὑπὸ τούτου γίνεται διαφανές. ὁ δ' αὐτὸς λόγος καὶ περὶ ψόφου καὶ ὀσμῆς ἐστίν· οὐθὲν γὰρ αὐτῶν ἁπτόμενον τοῦ αἰσθητηρίου ποιεῖ τὴν αἴσθησιν, ἀλλ' ὑπὸ μὲν ὀσμῆς καὶ ψόφου τὸ μεταξὺ κινεῖται, ὑπὸ δὲ τούτου τῶν αἰσθητηρίων ἑκάτερον· ὅταν δ' ἐπ' αὐτό τις ἐπιθῇ τὸ αἰσθητήριον τὸ ψοφοῦν ἢ τὸ ὄζον, οὐδεμίαν αἴσθησιν ποιήσει. περὶ δὲ ἁφῆς καὶ γεύσεως ἔχει μὲν ὁμοίως, οὐ φαίνεται δέ· δι' ἣν δ' αἰτίαν, ὕστερον ἔσται δῆλον.

14 δὲ SUXP mg V *Si*ᵖ *136, 31* *So 83, 30* : δὴ ECWy : δὲ ἤδη *Si*ˡ *A Th 62, 10* **16** (γένηται W) (τὸ μεταξὺ κενὸν W) (ἂν om W) (ἀκριβῶς om X) **17** (εἰ ὁ μύρμηξ W : ἡ μύρμηξ S) ἀδύνατόν ἐστιν ECVWyP *So 83, 32* : ἐστιν ἀδύνατον SUX **18** τι o—SU *So 83, 33 AC* : om SU *So 83, 33 B* αἰσθητικοῦ ECSUXP *So 83, 33* : αἰσθητηρίου VWy *Ph*ᶜ *350, 13* : «αἰσθήσεως» *Th 62, 14* **19** οὖν o -SU *Th 62, 15* : om SU *Si*ᶜ *137, 1* *So 83, 33* δὴ ECVWyP : δὲ SUX *Si*ᶜ *137, 2* *Th 62, 16* *So 83, 34* **20** ὥστ' .... μεταξύ ECVWyP *So 83, 34* *cf Ph*ᵖ *350, 17* : om SUX **21** (μηθὲν y : οὐδὲ P *So 83, 35*) **22** (ὁρᾶσθαι ἐν φωτὶ y) **23** (τὸ πῦρ P *So 83, 36*) σκότει o—EC *Si*ˡ *Ph*ᶜ *352, 7 A* [καὶ ἐν σκ. om *D*] : σκότῳ EC *So 83, 37* **26** (αὐτῶν om P *So 84, 2* **28** (δέ τις ἐπ' αὐτῷ V) **29** (τις ἐπιθῇ om E, suppl E^3 : τις ἐπιθείη W) ($τὸ_1$ om E) **31** (δ' om X) (ἐστὶ X)

τὸ δὲ μεταξὺ ψόφων μὲν ἀήρ, ὀσμῆς δ' ἀνώνυμον· κοινὸν γὰρ δή τι πάθος ἐπ' ἀέρος καὶ ὕδατός ἐστιν, ὥσπερ τὸ διαφανὲς χρώματι, οὕτω τῷ ἔχοντι ὀσμὴν ὃ ἐν ἀμφοτέροις ὑπάρχει τούτοις· φαίνεται γὰρ καὶ τὰ ἔνυδρα τῶν ζῴων ἔχειν αἴσθησιν ὀσμῆς. ἀλλ' ὁ μὲν ἄνθρωπος καὶ τῶν πεζῶν 419b
ὅσα ἀναπνεῖ, ἀδυνατεῖ ὀσμᾶσθαι μὴ ἀναπνέοντα. ἡ δ' αἰτία καὶ περὶ τούτων ὕστερον λεχθήσεται.

8 Νῦν δὲ πρῶτον περὶ ψόφου καὶ ἀκοῆς διορίσωμεν. ἔστι δὲ διττὸς ὁ ψόφος· ὁ μὲν γὰρ ἐνεργείᾳ τις, ὁ δὲ δυνάμει· τὰ μὲν γὰρ οὔ φαμεν ἔχειν ψόφον, οἷον σπόγγον, ἔρια, τὰ δ' ἔχειν, οἷον χαλκὸν καὶ ὅσα στερεὰ καὶ λεῖα, ὅτι δύναται ψοφῆσαι. τοῦτο δ' ἐστὶν αὑτοῦ μεταξὺ καὶ τῆς ἀκοῆς ἐμποιῆσαι ψόφον ἐνεργείᾳ. γίνεται δ' ὁ κατ' ἐνέργειαν ψόφος ἀεί τινος πρός τι καὶ ἔν τινι· πληγὴ γάρ ἐστιν ἡ ποιοῦσα. διὸ καὶ ἀδύνατον ἑνὸς ὄντος γενέσθαι ψόφον· ἕτερον γὰρ τὸ τύπτον καὶ τὸ τυπτόμενον· ὥστε τὸ ψοφοῦν πρός τι ψοφεῖ· πληγὴ δ' οὐ γίνεται ἄνευ φορᾶς. ὥσπερ δ' εἴπομεν, οὐ τῶν τυχόντων πληγὴ ὁ ψόφος· οὐθένα γὰρ ποιεῖ ψόφον ἔρια ἂν πληγῇ, ἀλλὰ χαλκὸς καὶ ὅσα λεῖα καὶ κοῖλα·

32 ψόφων **o** *Ph^c 354, 7 A* [ψόφῳ *D*] *So 84, 11* : ψόφου *Si^l Th 62, 27* **33** δή ECP : om SUVWXy (τι γὰρ π. X) **34** (χρώματος P) ὃ ἐν ECWy : ὃν SV [sed corr in ἐν V²] X : ὃν ἐν P : post ὃ eras 1 litt U **35** (καὶ om V)

419 b 1 ὀδμῆς et **2** ὀδμᾶσθαι ECP **4** πρῶτον om V *Si^l cf Th 63, 1 So 84, 20* ἀκοῆς SUV *Si^l Th 63, 1* : ὀσφρήσεως ECWXyP *So 84, 20* **5** ἐνεργείᾳ EC [ἐνεργίᾳ], P *Si^c 139, 12. 13 Ph^l p354, 21 Th 63, 2 So 84, 22* : ἐνέργεια SUVWXy δυνάμει ECWPX² *Si^c 139, 12. 13 Ph^l p354, 22 Th 63, 2 So 84, 22* : δύναμις SUVXy **9** (δὲ καὶ ὁ *Si^l A*) **11** (γίνεσθαι X) ψόφον SVX *Ph^l So 84, 30* : τὸν ψόφον ECUWyP **15** ἔρια ECWyP *Ph^p 359, 23 So 84, 23* : ἔριον SUVX ἂν πληγῇ ECWy : εἰ πληγῇ P *So 84, 33 A* : ᾖ [om V] πατάξαν ᾖ πληγέν SVX suppl mg U

ὁ μὲν χαλκός, ὅτι λεῖος, τὰ δὲ κοῖλα τῇ ἀνακλάσει πολλὰς ποιεῖ πληγὰς μετὰ τὴν πρώτην, ἀδυνατοῦντος ἐξελθεῖν τοῦ κινηθέντος. ἔτι ἀκούεται ἐν ἀέρι καὶ ὕδατι, ἀλλ' ἧττον. οὐκ ἔστι δὲ ψόφου κύριος ὁ ἀὴρ οὐδὲ τὸ ὕδωρ· ἀλλὰ δεῖ στερεῶν πληγὴν γενέσθαι πρὸς ἄλληλα καὶ πρὸς τὸν ἀέρα. τοῦτο δὲ γίνεται, ὅταν ὑπομένῃ πληγεὶς ὁ ἀὴρ καὶ μὴ διαχυθῇ. διὸ ἐὰν ταχέως καὶ σφοδρῶς πληγῇ, ψοφεῖ· δεῖ γὰρ φθάσαι τὴν κίνησιν τοῦ ῥαπίζοντος τὴν θρύψιν τοῦ ἀέρος, ὥσπερ ἂν εἰ σωρὸν ἢ ὁρμαθὸν ψάμμου τύπτοι τις φερόμενον ταχύ. ἠχὼ δὲ γίνεται, ὅταν, [ἀπὸ τοῦ] ἀέρος ἑνὸς γενομένου, διὰ [τὸ ἀγγεῖον] τὸ διορίσαν καὶ κωλῦσαν θρυφθῆναι πάλιν ὁ ἀὴρ ἀπωσθῇ, ὥσπερ σφαῖρα. ἔοικε δ' ἀεὶ γίνεσθαι ἠχώ, ἀλλ' οὐ σαφής, ἐπεὶ συμβαίνει γε ἐπὶ τοῦ ψόφου καθάπερ καὶ ἐπὶ τοῦ φωτός· καὶ γὰρ τὸ φῶς ἀεὶ ἀνακλᾶται (οὐδὲ γὰρ ἂν ἐγίνετο πάντῃ φῶς, ἀλλὰ σκότος ἔξω τοῦ ἡλιουμένου), ἀλλ' οὐχ οὕτως ἀνακλᾶται ὥσπερ ἀφ' ὕδατος

16 (μὲν γὰρ χ. V) **18** (ἐν] ὡς C) ὕδατι **o** *So 85, 24* : ὕδατι δὲ [δὲ ins] W² *Si^l A Ph^l D* ἧττον **o**—X *Si^l* : ἧσσον X *Si^p 140, 16 Ph^l p359, 28 Th 63, 20* **19** (ψόφος V) κύριος EUXyP *Si^c 140, 17 Ph^l Th 83, 21 So 85, 24* : κυρίως CSVW (ὁ om *Si^c 140, 17*) οὐδὲ SUXP *Si^c 140, 17 Ph^l So 85, 24* : οὔτε CVWy : οὔτε δὲ E (ἀλλὰ διὰ στ. γενέσθαι πλ. X) **21** ὑπομένῃ SUVXP *So 85, 26* : ὑπομείνῃ ECWy *cf Si^p 140, 27 ; 141, 6* **22** (ἂν W) **24** ἂν ECVWyP *So 85, 28* : om SUX ψάμμου **o**—X *So 85, 28* : ἄμμου X *Th 63, 29* τύπτοι ECSUVy *cf Th 63, 29* : τύπτει XP *So 85, 29 AC* : τύπτῃ W : τύπῃ *So 85, 29 B* **25** (τάχει P *So 85, 29*) ἀπὸ τοῦ ECWyP *Alex de an 48, 1* [ὑπὸ τοῦ], *Si^l So 85, 29* : om SUVX (ἀέρος τοῦ ἑνὸς W) γενομένου **o**—WP *Si^l* : γινομένου WP *So 85, 29* **26** τὸ ἀγγεῖον delevi **27** (ἀποστῇ W, sscr ωσθ W²) **30** οὐδὲ ECWyP *So 86, 11* : οὐ SUVX *Th 64, 1* (ἂν om P) (πάντα P) **31** ἡλιουμένου ECUVW *Si^p 143, 1 Th 64, 2 So 86, 12* : ἡλιωμένου SXyP *Ph^p 362, 26 . 31*

ἢ χαλκοῦ ἢ καί τινος ἄλλου τῶν λείων, ὥστε σκιὰν ποιεῖν, ᾗ τὸ φῶς ὁρίζομεν. τὸ δὲ κενὸν ὀρθῶς λέγεται κύριον τοῦ ἀκούειν. δοκεῖ γὰρ εἶναι κενὸν ὁ ἀήρ, οὗτος δ' ἐστὶν ὁ ποιῶν ἀκούειν, ὅταν κινηθῇ συνεχὴς καὶ εἷς. ἀλλὰ διὰ τὸ ψαθυρὸς εἶναι οὐ γεγωνεῖ, ἂν μὴ λεῖον ᾖ τὸ πληγέν. τότε δὲ εἷς γί- 420 a
νεται ἅμα διὰ τὸ ἐπίπεδον· ἓν γὰρ τὸ τοῦ λείου ἐπίπεδον.

ψοφητικὸν μὲν οὖν τὸ κινητικὸν ἑνὸς ἀέρος συνεχείᾳ μέχρις ἀκοῆς· ἀκοῇ δὲ συμφυὴς ἀήρ· διὰ δὲ τὸ ἐν ἀέρι εἶναι, κινουμένου τοῦ ἔξω ὁ εἴσω κινεῖται. διόπερ οὐ πάντῃ τὸ ζῷον ἀκούει, οὐδὲ πάντῃ διέρχεται ὁ ἀήρ· οὐ γὰρ πάντῃ ἔχει ἀέρα τὸ κινησόμενον μέρος καὶ ἔμψυχον. αὐτὸς μὲν δὴ ἄψοφον ὁ ἀὴρ διὰ τὸ εὔθρυπτον· ὅταν δὲ κωλυθῇ θρύπτεσθαι, ἡ τούτου κίνησις ψόφος. ὁ δ' ἐν τοῖς ὠσὶν ἐγκατῳκοδόμηται πρὸς τὸ ἀκίνητος εἶναι, ὅπως ἀκριβῶς αἰσθάνηται πάσας τὰς διαφορὰς τῆς κινήσεως. διὰ ταῦτα δὲ καὶ ἐν ὕδατι ἀκούομεν, ὅτι οὐκ εἰσέρχεται πρὸς αὐτὸν τὸν συμφυῆ ἀέρα· ἀλλ' οὐδ' εἰς τὸ οὖς διὰ τὰς ἕλικας. ὅταν δὲ τοῦτο συμβῇ, οὐκ

32 ἢ καὶ ECUXyP *Ph*[p] *362, 19* *So 86, 15* : ἢ SV : καὶ W **33** ᾗ **o** *So 86, 15* : ᾧ *Ph*[c] *363, 10* **35** (κινῆσθαι S) (ψαθυρὸν X, corr -ὸν W[2])
420 a 1 (ἂν] ἀλλ' εἰ W) **2** ἅμα διὰ **o**—UX *So 86, 20* : ἅμα γὰρ διὰ UX *cf Ph*[p]*363, 27* (ἓν . . . ἐπίπεδον om P) **3** συνεχείᾳ μέχρις **o**—P *Si*[l] *Ph*[l] : συνεχοῦς μέχρι P *Th 64, 15* *So 86, 24* **4** ἀκοῇ δὲ σ. ἀήρ WyP *Si*[c] *143, 22* *Ph*[c] *364, 11* *Prisc Lyd 16, 22* *So 86, 25* : ἀκοὴ δὲ σ. ἀέρι ECSUVX *Th 64, 16* (δὲ₂ om y) **5** ὁ ECWy *Th 64, 18* *cf Si*[p] *143, 28* *Ph*[p] *365, 22 . 25* : τὸ SUVXP (ἔσω SU) κινεῖται ECUWXy *Si*[l] [p]*143, 32* *Ph*[l] [p]*365, 22* *cf Th 64, 18* : κινεῖ SVP (διὸ V) πάντῃ . . . **6** ὁ ἀήρ ECSUVX *Si*[l] *cf So 87, 2* : παντὶ μέρει τὸ ζῷον ἀκούει, ἀλλ' ὠσίν· οὐδὲ πανταχοῦ τοῦ σώματος διέρχεται Wy *cf Ph*[p] *365, 26* : πάντα τὸ ζῷον ἀκούει, ἀλλ' ὠσίν, οὐδὲ πάντα διέρχεται ὁ ἀήρ P **7** post ἔμψυχον add ὥσπερ ἡ κόρη τὸ [om τὸ P] ὑγρόν WyP mgU[2] *Ph*[c] *366, 9* *cf So 86, 37* αὐτὸς *Th 64, 22* : αὐτὸ **o** *Si*[l] *Ph*[l] (τοῦ τούτου U) **9** (ψόφος γίνεται ὁ W) **11** (οὐκ ante ἀκούομεν suppl S[x]) **12** (ἐπέρχεται *Ph*[l]*D*)

ἀκούει· οὐδ' ἂν ἡ μῆνιγξ κάμῃ, ὥσπερ τὸ ἐπὶ τῇ κόρῃ δέρμα ὅταν κάμῃ. ἀλλὰ καὶ σημεῖον τοῦ ἀκούειν ἢ μὴ τὸ ἠχεῖν αἰεὶ τὸ οὖς ὥσπερ τὸ κέρας· ἀεὶ γὰρ οἰκείαν τινὰ κίνησιν ὁ ἀὴρ κινεῖται ὁ ἐν τοῖς ὠσίν· ἀλλ' ὁ ψόφος ἀλλότριος καὶ οὐκ ἴδιος. καὶ διὰ τοῦτό φασιν ἀκούειν τῷ κενῷ καὶ ἠχοῦντι, ὅτι ἀκούομεν τῷ ἔχοντι ὡρισμένον τὸν ἀέρα. πότερον δὲ ψοφεῖ τὸ τυπτόμενον ἢ τύπτον; ἢ καὶ ἄμφω, τρόπον δ' ἕτερον· ἔστι γὰρ ὁ ψόφος κίνησις τοῦ δυναμένου κινεῖσθαι τὸν τρόπον τοῦτον ὅνπερ τὰ ἀφαλλόμενα ἀπὸ τῶν λείων, ὅταν τις κρούσῃ. οὐ δὴ πᾶν, ὥσπερ εἴρηται, ψοφεῖ τυπτόμενον καὶ τύπτον, οἷον, ἐὰν πατάξῃ βελόνη βελόνην· ἀλλὰ δεῖ τὸ τυπτόμενον ὁμαλὸν εἶναι, ὥστε τὸν ἀέρα ἀθροῦν ἀφάλλεσθαι καὶ σείεσθαι. αἱ δὲ διαφοραὶ τῶν ψοφούντων ἐν τῷ κατ' ἐνέργειαν ψόφῳ δηλοῦνται· ὥσπερ γὰρ ἄνευ φωτὸς οὐχ ὁρᾶται τὰ χρώματα, οὕτως οὐδ' ἄνευ ψόφου τὸ

14 οὐδ' SUVXP *Ph^c 367, 32 So 87, 12* : οὔτ' ECW [sscr δ] y (μήνιξ U) κάμῃ **o** *So 87, 12* [κάμοι] *cf Si^p 144, 31 Th 65, 12* : om *Ph^c 367, 32* **15** ὅταν κάμῃ SUVX *Ph^c 367, 33 cf Si^p 144, 31 Th 65, 13* : om ECWyP *So 87, 12* **16** αἰεὶ$_1$ ECWyP *Si^l Ph^l Th 65, 18 So 87, 13* : om SUVX (τὸ οὖς om P *So 87, 13*) **17** ὁ ἀὴρ κινεῖται ECWXy *So 87, 14* : κινεῖται ὁ ἀὴρ SUV : ὁ ἀὴρ κινεῖ P ὁ$_2$ EVyP *So 87, 14 cf Si^p 145, 19* : om CSUWX **18** (διὰ τοῦτο καὶ P) **19** (ὅτε P) τὸν ECWyP *Si^l c145, 28* : om SUVX *Ph^l* **22** (ὥσπερ *Ph^l* sed ὅνπερ *Ph^c 375, 3*) ἀφαλλόμενα ECyP *Ph^l c375, 3t Th 65, 23 So 87, 23* : σφαλλόμενα [sscr ἀ- W²] W *Ph^c 375, 3D* : ἁλλόμενα SU [ἀφ- add U²], VX *Si^p 146, 6 cf 12* (ἀπὸ om P) **23** (τι C) (περ om C) **24** τὸ τυπτόμενον yP *Ph^l D* καὶ τύπτον ECWy *Si^p 146, 14 Ph^l p372, 22* : ἢ τὸ τύπτον P *So 87, 24* [om τὸ] : om SUVX (ἂν W) (βελώνη βελώνην P) **25** τὸ τυπτόμενον ὁμαλὸν εἶναι **o**—P *Ph^l c372, 24* : εἶναι τὸ τύπτον καὶ τυπτόμενον ὁμαλὸν P *Si^p 146, 14* ἀθροῦν ECyP *Ph^l c372, 28 So 87, 28* : ἀθρόον SUVWX *Si^c 146, 16* **26** (ἀφελέσθαι S) ψοφούντων ESUVWX *Si^l 146, 27 Ph^l c372, 34* : ψόφων CyP *Theophr ap Prisc 17, 25 Th 65, 37 So 87, 30* **27** (ἐν om V) (δηλονότι V) **28** (αἱ χρόαι οὐχ ὁρῶνται P)

ὀξὺ καὶ τὸ βαρύ. ταῦτα δὲ λέγεται κατὰ μεταφορὰν ἀπὸ τῶν ἁπτῶν· τὸ μὲν γὰρ ὀξὺ κινεῖ τὴν αἴσθησιν ἐν ὀλίγῳ χρόνῳ ἐπὶ πολύ, τὸ δὲ βαρὺ ἐν πολλῷ ἐπ' ὀλίγον. οὐ δὴ ταχὺ τὸ ὀξύ, τὸ δὲ βαρὺ βραδύ, ἀλλὰ γίνεται τοῦ μὲν διὰ τὸ τάχος ἡ κίνησις τοιαύτη, τοῦ δὲ διὰ βραδυτῆτα. καὶ ἔοικεν ἀνάλογον ἔχειν τῷ περὶ τὴν ἁφὴν ὀξεῖ καὶ ἀμ- **420 b** βλεῖ· τὸ μὲν γὰρ ὀξὺ οἷον κεντεῖ, τὸ δ' ἀμβλὺ οἷον ὠθεῖ διὰ τὸ κινεῖν τὸ μὲν ἐν ὀλίγῳ τὸ δὲ ἐν πολλῷ, ὥστε συμβαίνει τὸ μὲν ταχὺ τὸ δὲ βραδὺ εἶναι.

περὶ μὲν οὖν ψόφου ταύτῃ διωρίσθω. ἡ δὲ φωνὴ ψόφος τίς ἐστιν ἐμψύχου· τῶν γὰρ ἀψύχων οὐθὲν φωνεῖ, ἀλλὰ καθ' ὁμοιότητα λέγεται φωνεῖν, οἷον αὐλὸς καὶ λύρα καὶ ὅσα ἄλλα τῶν ἀψύχων ἀπότασιν ἔχει καὶ μέλος καὶ διάλεκτον. ἔοικε γάρ, ὅτι καὶ ἡ φωνὴ ταῦτ' ἔχει. πολλὰ δὲ τῶν ζῴων οὐκ ἔχουσι φωνήν, οἷον τά τε ἄναιμα καὶ τῶν ἐναίμων ἰχθύες. καὶ τοῦτ' εὐλόγως, εἴπερ ἀέρος κίνησίς τίς ἐστιν ὁ ψόφος. ἀλλ'

29 τὸ om *Prisc Lyd 17, 28* **30** (τὴν αἴσθησιν post **31** πολύ P) **31** ἐπ' ECX *Si*[c] *147, 5 Th 66, 6* : om SUVWyP *So 88, 19* οὐ δὴ ESUX *Si*[l] [c]*147, 37 Ph*[l] [οὐδ' ἡ *D*]: οὕτω δὴ CX² *Ph*[l]*D*² *cf Si*[v] *147, 38* : ὥστε οὐχὶ τὸ C³ : ὥστε οὐχὶ WP *So 88, 2* : ὥστε οὐδὲ V : οὐ δὴ ... **32** βραδύ om y **32** (τὸ δὲ in οὐδὲ τὸ corr V²) **33** (τοιαύτη] τοῦ ταύτης S)

420 b 1 ἔχειν ἀνάλογον XP (ἁφὴν] ἀκοὴν W) **2** ἀμβλὺ **o**—P *Ph*[c] *148, 4* : βαρὺ P *Th 66, 8* **3** συμβαίνει UVXP *Si*[c] *148, 7 Ph*[c] *374. 29 So 88, 23* : συμβαίνειν ECSWy **4** (ταχεῖ εἶναι τὸ δὲ βραδύ P) **5** (διαιρείσθω *Ph*[l]*D*) (ἔμψυχος W) τῶν ... **6** φωνεῖ ☛ P **7** (αὐλοὶ P) **8** γὰρ ECWXyP *So 88, 26* : δὲ SUV *Ph*[l] **9** καὶ ECWXyP *Ph*[l] *So 88, 26* : om SUV πολλὰ ... **10** ἰχθύες ☛ P **10** (φωνεῖν W, sscr ὴν W¹) **11** τίς ECWyP *Ph*[l] [sed ἀέρος post τίς] *So 88, 29* : om SUVX *Si*[l] *cf Ph*[p] *378, 1 Th 66, 21* ἐστιν **o**—P *Si*[l] *cf Ph*[p] *378, 1* : om P *Ph*[l] *So 88, 29*

οἱ λεγόμενοι φωνεῖν, οἷον ἐν τῷ Ἀχελῴῳ, ψοφοῦσι τοῖς βραγχίοις ἤ τινι ἑτέρῳ τοιούτῳ. φωνὴ δ' ἐστὶ ζῴου ψόφος, καὶ οὐ τῷ τυχόντι μορίῳ. ἀλλ' ἐπεὶ πᾶν ψοφεῖ τύπτοντός τινος καί τι καὶ ἔν τινι, τοῦτο δ' ἐστὶν ἀήρ, εὐλόγως ἂν φωνοίη ταῦτα μόνα ὅσα δέχεται τὸν ἀέρα. ἤδη γὰρ τῷ ἀναπνεομένῳ καταχρῆται ἡ φύσις ἐπὶ δύο ἔργα, καθάπερ τῇ γλώττῃ ἐπί τε τὴν γεῦσιν καὶ τὴν διάλεκτον, ὧν ἡ μὲν γεῦσις ἀναγκαῖον (διὸ καὶ πλείοσιν ὑπάρχει), ἡ δ' ἑρμηνεία ἕνεκα τοῦ εὖ, οὕτω καὶ τῷ πνεύματι πρός τε τὴν θερμότητα τὴν ἐντὸς ὡς ἀναγκαῖον (τὸ δ' αἴτιον ἐν ἑτέροις εἰρήσεται) καὶ πρὸς τὴν φωνήν, ὅπως ὑπάρχῃ τὸ εὖ. ὄργανον δὲ τῇ ἀναπνοῇ ὁ φάρυγξ· οὗ δ' ἕνεκα καὶ τὸ μόριόν ἐστι τοῦτο, πνεύμων· τούτῳ γὰρ τῷ μορίῳ πλεῖστον ἔχει τὸ θερμὸν τὰ πεζὰ τῶν ἄλλων. δεῖται δὲ τῆς ἀναπνοῆς καὶ ὁ περὶ τὴν καρδίαν τόπος πρῶτος. διὸ ἀναγκαῖον εἴσω ἀναπνεομένου εἰσιέναι τὸν ἀέρα. ὥστε ἡ πληγὴ τοῦ ἀναπνεομένου

12 οἷον] οἱ P : om *Ph*^{c} *378, 6 So 88, 29* ἀχελῴῳ ψοφοῦσι **o**—SV *Ph*^{c} *378, 6 Th 66, 22 :* ἀχελῴῳ ἰχθύες ψοφοῦσι SV *So 88, 29* **13** (ψόφος ζῴου W) **15** (καὶ$_2$ om C, ins W^{1}) **17** (κατακέχρηται y) **18** τε ECP *Ph*^{l} *Th 66, 30 So 88, 36AC :* om SUVWXy *So 88, 36B* **19** καὶ **o**—EC *Th 66, 31 So 88, 37 :* om EC **20** ἕνεκα EP *So 88, 37 :* ἕνεκεν **o**—EP **21** τὸ . . . εἴρηται post **22** φωνήν W, [om εἴρηται] y εἰρήσεται E *Ph*^{p} *381, 5 :* εἴρηται SUVWXP, [sscr σε] C *So 89, 1 :* om y **22** (καὶ . . . φωνήν] θάτερον δὲ ἔργον καὶ φωνήν *Si*^{l}*A*) ὑπάρχῃ SUP *Si*^{l} *So 89, 1 :* ὑπάρχει CWX : ὑπάρχοι EV **23** ἕνεκα ECWyP *Si*^{l} *Ph*^{p} *381, 34 So 89, 16 :* ἕνεκεν SUVX *cf Th 66, 36* καὶ P *Si*^{l} *:* om **o**—P *Ph*^{p} *381, 34* **24** πνεύμων **o**—E : *Ph*^{p} *381, 34 Th 66, 36 So 89, 16 :* πλεύμων E, corr C^{x} *:* ὁ πνεύμων *Si*^{l} *cf* ^{p}*149, 18 . 24* πλεῖστον E : πλεῖον **o**—E *Si*^{l} *Ph*^{l} *Th 66, 37 So 89, 17AC* [πλέον *B*] **26** πρῶτος τόπος UP *So 89, 18* (διὸ καὶ ἀναγκαῖον *Ph*^{l}) (ἀναπνεόμενον εἴσω W, τοῦ ἀναπνεομένου corr W^{2}) **27** (πληγὴ post ἀέρος P *So 89, 26*) ἀναπνεομένου **o**—Wy *Si*^{c} *149, 26 Ph*^{l} *So 89, 26 cf Th 67, 3 :* om Wy

ἀέρος ὑπὸ τῆς ἐν τούτοις τοῖς μορίοις ψυχῆς πρὸς τὴν καλουμένην ἀρτηρίαν φωνή ἐστιν. οὐ γὰρ πᾶς ζῴου ψόφος φωνή, καθάπερ εἴπομεν (ἔστι γὰρ καὶ τῇ γλώττῃ ψοφεῖν καὶ ὡς οἱ βήττοντες), ἀλλὰ δεῖ ἔμψυχόν τε εἶναι τὸ τύπτον καὶ μετὰ φαντασίας τινός· σημαντικὸς γὰρ δή τις ψόφος ἐστὶν ἡ φωνή· καὶ οὐ τοῦ ἀναπνεομένου ἀέρος, ὥσπερ ἡ βήξ, ἀλλὰ τούτῳ τύπτει τὸν ἐν τῇ ἀρτηρίᾳ πρὸς αὐτήν. σημεῖον 421a
δὲ τὸ μὴ δύνασθαι φωνεῖν ἀναπνέοντα μηδ' ἐκπνέοντα, ἀλλὰ κατέχοντα· κινεῖ γὰρ τούτῳ ὁ κατέχων· φανερὸν δὲ καὶ διότι οἱ ἰχθύες ἄφωνοι· οὐ γὰρ ἔχουσι φάρυγγα. τοῦτο δὲ τὸ μόριον οὐκ ἔχουσιν, ὅτι οὐ δέχονται τὸν ἀέρα οὐδ' ἀναπνέουσιν. δι' ἣν μὲν οὖν αἰτίαν, ἕτερός ἐστι λόγος.

9 Περὶ δὲ ὀσμῆς καὶ ὀσφραντοῦ ἧττον εὐδιόριστόν ἐστι τῶν

28 ψυχῆς o—Wy *Si^c 149, 26* . *28* *So 89, 26* *cf Alex ap Si^l 149, 29 :* ψυχικῆς δυνάμεως Wy *Ph^p 382, 34* **30** (εἴρηται P *So 89, 28*) καὶ₁ ECWyP *Si^l So 89, 28 :* om SUVX καὶ₂ o—E *Si^l So 89, 28 :* om E **31** ὡς o—P: ὥσπερ *Si^l :* οἷον ποιοῦσιν P *So 89, 28* δεῖ o—UV *So 89, 29 :* δὴ UV τε ECWyP *So 89, 29 :* τι SUVX (τὸ τύπτον post δεῖ X) **32** δή EWyP, ins C^x *Ph^l So 89, 30 :* om SUVX *Th 67, 9* **33** βήξ SUVWP *Si^c 150, 16 Ph^l p379, 16 So 88, 32; 89, 31 :* βῆξις ECy, X [corr in βήξ X²]

421a 1 (τοῦτο X) **2** τὸ μὴ ... **3** κατέχων ☞ P **3** ἀλλὰ κατέχοντα SUVWX mgC² *Si^l p150, 24 :* om ECy τούτῳ CSUXyP *Si^l p150, 25 Ph^c 384, 2 Th 67, 13 So 89, 31 :* τοῦτο EVW δὲ ECWXyP, in ras V² *Ph^l So 90, 4 :* γὰρ SU **5** ἀναπνέουσιν ECyPEₐ *So 90, 6 :* ἀναπνέουσιν. ἀλλ' οἱ λέγοντες οὕτω ἁμαρτάνουσιν [διαμαρτάνουσιν X] SVWX mg U [perperam post **7** ὀσμῆς], mg y² *Ph^p 384, 11* **6** μὲν οὖν ECWy : δ' VXPEₐ *So 90, 6 :* om SU ἐστι EWy : om C : ἔσται SUVX : ἔσται περὶ αὐτῶν PEₐ *So 90, 6 :* ἔστω *Ph^c 384, 23* **7** (τῆς ante ὀσμῆς eras C) (ὀδμῆς W)

---

7 ἧττον ... **422a 23** ὧν τὸ ☞ PEₐ

εἰρημένων· οὐ γὰρ δῆλον ποῖόν τί ἐστιν ἡ ὀσμή, οὕτως ὡς ὁ ψόφος ἢ τὸ χρῶμα. αἴτιον δ' ὅτι τὴν αἴσθησιν ταύτην οὐκ ἔχομεν ἀκριβῆ, ἀλλὰ χείρω πολλῶν ζῴων· φαύλως γὰρ ἄνθρωπος ὀσμᾶται, καὶ οὐθενὸς αἰσθάνεται τῶν ὀσφραντῶν ἄνευ τοῦ λυπηροῦ ἢ τοῦ ἡδέος, ὡς οὐκ ὄντος ἀκριβοῦς τοῦ αἰσθητηρίου. εὔλογον δ' οὕτω καὶ τὰ σκληρόφθαλμα τῶν χρωμάτων αἰσθάνεσθαι, καὶ μὴ διαδήλους αὐτοῖς εἶναι τὰς διαφορὰς τῶν χρωμάτων πλὴν τῷ φοβερῷ καὶ ἀφόβῳ· οὕτω δὲ καὶ τὰς ὀσμὰς τὸ τῶν ἀνθρώπων γένος. ἔοικε μὲν γὰρ ἀνάλογον ἔχειν πρὸς τὴν γεῦσιν καὶ ὁμοίως τὰ εἴδη τῶν χυμῶν τοῖς τῆς ὀσμῆς, ἀλλ' ἀκριβεστέραν ἔχομεν τὴν γεῦσιν διὰ τὸ εἶναι αὐτὴν ἁφήν τινα, ταύτην δ' ἔχειν τὴν αἴσθησιν τὸν ἄνθρωπον ἀκριβεστάτην· ἐν μὲν γὰρ ταῖς ἄλλαις λείπεται πολλῶν τῶν ζῴων, κατὰ δὲ τὴν ἁφὴν πολλῷ τῶν ἄλλων διαφερόντως ἀκριβοῖ. διὸ καὶ φρονιμώτατόν ἐστι τῶν ζῴων. σημεῖον δὲ τὸ καὶ ἐν τῷ γένει τῶν ἀνθρώπων παρὰ

8 ποῖον **o**—V *Si*^{l} : ποιεῖ V : οἷον *Ph*^{l} *c*388, 4 ἡ ECVWyPE$_a$ *Si*^{c} 151, 32 : om SUX *Si*^{l} *Ph*^{l} *c*388, 4 ὀσμή SUVXPE$_a$ *Si*^{l} *c*151, 32 *Ph*^{l} *c*388, 4 *So* 90, 16 : ὀδμή ECWy **9** ἢ τὸ χρῶμα ESUV *cf So* 90, 16 : ἢ τὸ φῶς ἢ τὸ χρῶμα CWXy *Si*^{c} 151, 36 *Ph*^{l} *c*388, 4 *cf Th* 67, 29 : καὶ τὸ φῶς PE$_a$ **10** χείρω Cy : χείρων E : χείρονα SUVW *Ph*^{p} 386, 5A : χεῖρον X *Si*^{l} *c*152, 1 *Ph*^{p} 386, 5D (γὰρ ὁ ἄ. W) **11** αἰσθάνεται SUVXy *Si*^{l} *p*151, 11 *Th* 67, 33 : ὀσφραίνεται ECW **13** (δ' om X) **14** (διαλλήλους S) (τὰς διαφορὰς εἶναι X) **16** ὀσμὰς SUVXPE$_a$ *So* 90, 32 : ὀδμὰς ECWy **18** (ὀδμῆς W) ἀκριβεστέραν SUVXyPE$_a$ *So* 90, 38 : ἀκριβέστερον E [in -αν corr E^3], CW **19** (καὶ διὰ y) εἶναι αὐτὴν ECWXy : αὐτὴν εἶναι SUV (τὴν αἴσθησιν om V) **20** (ἀκριβεστάτην ὁ ἄνθρ. W cf PE$_a$ *So* 91, 1 **21** λείπεται πολλῷ **o**—UX : λείπεται πολλῶν X, [eras ν] U PE$_a$ *Si*^{p} 151, 21 . 30 *Ph*^{p} 388, 19 *Th* 67, 30 *So* 91, 1 [πολλοῖς] τῶν **o**—XP *Th* 67, 30 *So* 91, 1 : om XPE$_a$ *cf Si*^{p} 151, 21 *Ph*^{p} 388, 19 (πολλῷ τῶν ἄλλων om X) **22** (ἐστι τῶν ζώων om y, ins y^2) **23** τὸ καὶ UV : καὶ τὸ ECSWy : τὸ [om καὶ] X (περὶ W)

τὸ αἰσθητήριον τοῦτο εἶναι εὐφυεῖς καὶ ἀφυεῖς, παρ' ἄλλο δὲ μηδέν· οἱ μὲν γὰρ σκληρόσαρκοι ἀφυεῖς τὴν διάνοιαν, οἱ δὲ μαλακόσαρκοι εὐφυεῖς. ἔστι δ', ὥσπερ χυμὸς ὁ μὲν γλυκὺς ὁ δὲ πικρός, οὕτω καὶ ὀσμαί· [ἀλλὰ τὰ μὲν ἔχουσι τὴν ἀνάλογον ὀσμὴν καὶ χυμόν, λέγω δὲ οἷον γλυκεῖαν ὀσμὴν καὶ γλυκὺν χυμόν, τὰ δὲ τοὐναντίον.] ὁμοίως δὲ καὶ δριμεῖα καὶ αὐστηρὰ καὶ ὀξεῖα καὶ λιπαρά ἐστιν ὀσμή. ἀλλ' ὥσπερ εἴπομεν, διὰ τὸ μὴ σφόδρα διαδήλους εἶναι τὰς ὀσμὰς ὥσπερ τοὺς χυμούς, ἀπὸ τούτων εἴληφε τὰ ὀνόματα καθ' ὁμοιότητα τῶν πραγμάτων· ἡ μὲν γὰρ γλυκεῖα 421b [ἀπὸ τοῦ] κρόκου καὶ μέλιτος, ἡ δὲ δριμεῖα θύμου καὶ τῶν τοιούτων· τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων. ἔστι δ', ὥσπερ καὶ ἡ ἀκοὴ καὶ ἑκάστη τῶν αἰσθήσεων ἡ μὲν τοῦ ἀκουστοῦ καὶ ἀνηκούστου, ἡ δὲ τοῦ ὁρατοῦ καὶ ἀοράτου, καὶ ἡ ὄσφρησις τοῦ ὀσφραντοῦ καὶ ἀνοσφράντου. ἀνόσφραντον δὲ τὸ μὲν παρὰ τὸ ὅλως ἀδύνατον ἔχειν ὀσμήν, τὸ δὲ μικρὰν ἔχον καὶ φαύλην. ὁμοίως δὲ καὶ τὸ ἄγευστον λέγεται. ἔστι δὲ

24 (εἶναι] ἐστὶν X) **27** (καὶ αἱ ὀ. *Ph*[l]) ὀσμαὶ SUVXPE$_a$ *Si*[l] *Ph*[l] : ὀδμαὶ ECWy ἀλλὰ ... **29** τοὐναντίον delevi **28** (ἀνάλογον τὴν y) **28** et **29** ὀδμὴν ECWy **29** τὰ δὲ τοὐναντίον ECWy *Ph*[p] *389, 33* *Th 68, 24* : post **28** χυμόν ponit SUVX **30** (λυπαρὰ E) ὀδμὴ EWy **32** ὀδμὰς EWy (ὥσπερ καὶ τοὺς W)

421[b] **1** γὰρ **o**—XP, E$_a$: om XP **2** ἀπὸ τοῦ ECy : om SUVWXPE$_a$ *Si*[c] *153, 34* **3** (καὶ om V) **4** καὶ ἡ ἀκοὴ ECyPE$_a$: ἡ ἀκοὴ W *Ph*[l] *Th 68, 30* : ἀκοὴ SUVX (καὶ$_2$ om *Ph*[l]*D*) **5** ἀνηκούστου **o**—CX, E$_a$ *Ph*[l] *Th 68, 30* : τοῦ ἀνηκούστου CX ὁρατοῦ καὶ ἀοράτου ESWy *Th 68, 31* : ὁρατοῦ καὶ ἀνοράτου S, [eras ν] V *Ph*[l] : ὁρατοῦ καὶ τοῦ ἀοράτου CX : ἀνοράτου καὶ ὁρατοῦ U ἡ$_2$ ECUWyPE$_a$ *Th 68, 31* : om SVX *Ph*[l] **6** ἀνοσφράντου EVWyPE$_a$ *Ph*[l] *Th 68, 32* : τοῦ ἀνοσφράντου CSUX **7** (ὅλως ἀδύνατον μηδ' ὅλως W : ὅλως y) (ὀδμὴν ECWy) (τὸ δὲ τὸ V) **8** καὶ φαύλην SWyP : καὶ τὸ φαύλην ECUVXE$_a$ *Th 69, 1* (δὲ om V) ἄγευστον ECUWXyPE$_a$ *Ph*[p] *390, 23* : γευστὸν καὶ τὸ ἄγευστον SVU[2] *cf Th 69, 2*

καὶ ἡ ὄσφρησις διὰ τοῦ μεταξύ, οἷον ἀέρος ἢ ὕδατος· καὶ γὰρ τὰ ἔνυδρα δοκοῦσιν ὀσμῆς αἰσθάνεσθαι, ὁμοίως δὲ καὶ τὰ ἔναιμα καὶ τὰ ἄναιμα, ὥσπερ καὶ τὰ ἐν τῷ ἀέρι· καὶ γὰρ τούτων ἔνια πόρρωθεν ἀπαντᾷ πρὸς τὴν τροφὴν ὕποσμα γινόμενα. διὸ καὶ ἄπορον φαίνεται, εἰ πάντα μὲν ὁμοίως ὀσμᾶται, ὁ δ' ἄνθρωπος ἀναπνέων μέν, μὴ ἀναπνέων δὲ ἀλλ' ἐκπνέων ἢ κατέχων τὸ πνεῦμα οὐκ ὀσμᾶται, οὔτε πόρρωθεν οὔτ' ἐγγύθεν, οὐδ' ἂν ἐπὶ τοῦ μυκτῆρος ἐντὸς τεθῇ· καὶ τὸ μὲν ἐπ' αὐτῷ τιθέμενον τῷ αἰσθητηρίῳ ἀναίσθητον εἶναι κοινὸν πάντων· ἀλλὰ τὸ ἄνευ τοῦ ἀναπνεῖν μὴ αἰσθάνεσθαι ἴδιον ἐπὶ τῶν ἀνθρώπων· δῆλον δὲ πειρωμένοις· ὥστε τὰ ἄναιμα, ἐπειδὴ οὐκ ἀναπνέουσιν, ἑτέραν ἄν τιν' αἴσθησιν ἔχοι παρὰ τὰς λεγομένας. ἀλλ' ἀδύνατον, εἴπερ τῆς ὀσμῆς αἰσθάνεται· ἡ γὰρ τοῦ ὀσφραντοῦ αἴσθησις καὶ δυσώδους καὶ εὐώδους ὄσφρησίς ἐστιν. ἔτι δὲ καὶ φθειρόμενα φαίνεται ὑπὸ τῶν ἰσχυρῶν ὀσμῶν ὑφ' ὧνπερ ἄνθρωπος, οἷον ἀσφάλτου καὶ θείου καὶ τῶν τοιούτων. ὀσφραίνεσθαι μὲν οὖν ἀναγκαῖον, ἀλλ' οὐκ ἀναπνέοντα. ἔοικε δὲ τοῖς ἀνθρώποις διαφέρειν τὸ αἰσθητήριον τοῦτο πρὸς τὸ τῶν ἄλλων ζῴων, ὥσπερ

9 (καὶ om S) ἢ ECVWXy *Ph^l*: om SU: καὶ PE$_a$ *So 92, 13* **10** (ὀδμῆς ECy: om V) (ὁμοίως corr ex ὅμως C^x) δὲ **o**—EC *Ph^l c393, 1. 4*: om EC, ins C^x **11** τὰ ἔν. καὶ τὰ ἄν. SUVXy *Ph^l c393, 1*: τὰ ἔν. καὶ ἄν. PE$_a$: ἔναιμα καὶ ἄναιμα ECW (ὥσπερ γὰρ καὶ U, γὰρ exp U^2) **13** (καὶ om E) **14 et 15** (ὀδμᾶται E) **14** ἀναπνέων μὲν SUVX: ἀναπνέων ECyPE$_a$ *Ph^l Th 69, 14*: ἀν. μὲν ὀσμᾶται W μὴ ἀναπνέων δὲ ECWyPE$_a$ *Th 69, 15*: om SUVX **15** ἀλλ' ἐκπνέων E$_a$ **o**—Wy: om Wy *Th 69, 15* (οὐδὲ CU) **18** (εἶναι καὶ κ. X) **20** (ἂν om y) **21** ἔχοι ECSUWXV^{2}E$_a$ *Th 69, 21*: ἔχει Vy: ἔχῃ P **22** (αἰσθάνεται ex αἰσθάνεσθαι corr E^x) (καὶ om W) (δυσώδης καὶ εὐώδης C: δυσωδίας καὶ εὐωδίας W) **23** δὲ SUVWX *Th 69, 26*: δὴ ECy **24** (ὑφ'] ἐφ' y) (ὧνπερ καὶ ὁ α. W)

τὰ ὄμματα πρὸς τὰ τῶν σκληροφθάλμων· τὰ μὲν γὰρ ἔχει φράγμα καὶ ὥσπερ ἔλυτρον τὰ βλέφαρα, ἃ μὴ κινήσας μηδ' ἀνασπάσας οὐχ ὁρᾷ· τὰ δὲ σκληρόφθαλμα οὐδὲν ἔχει τοιοῦτον, ἀλλ' εὐθέως ὁρᾷ τὰ γινόμενα ἐν τῷ διαφανεῖ· οὕτως οὖν καὶ τὸ ὀσφραντικὸν αἰσθητήριον τοῖς μὲν ἀκαλυφὲς εἶναι, ὥσπερ τὸ ὄμμα, τοῖς δὲ τὸν ἀέρα δεχο- 422ᵃ
μένοις ἔχειν ἐπικάλυμμα, ὃ ἀναπνεόντων ἀποκαλύπτεσθαι, διευρυνομένων τῶν φλεβίων καὶ τῶν πόρων. καὶ διὰ τοῦτο τὰ ἀναπνέοντα οὐκ ὀσμᾶται ἐν τῷ ὑγρῷ· ἀναγκαῖον γὰρ ὀσφρανθῆναι ἀναπνεύσαντα, τοῦτο δὲ ποιεῖν ἐν τῷ ὑγρῷ ἀδύνατον. ἔστι δ' ἡ ὀσμὴ τοῦ ξηροῦ, ὥσπερ ὁ χυμὸς τοῦ ὑγροῦ, τὸ δὲ ὀσφραντικὸν αἰσθητήριον δυνάμει τοιοῦτον.

10 Τὸ δὲ γευστόν ἐστιν ἁπτόν τι· καὶ τοῦτ' αἴτιον τοῦ μὴ εἶναι αἰσθητὸν διὰ τοῦ μεταξὺ ἀλλοτρίου ὄντος σώματος· οὐδὲ γὰρ ἡ ἁφή. καὶ τὸ σῶμα δὲ ἐν ᾧ ὁ χυμός, τὸ γευστόν, ἐν ὑγρῷ ὡς ὕλῃ· τοῦτο δ' ἁπτόν τι. διὸ κἂν εἰ ἐν

28 (τὰ$_1$ om S) (τῶν ζῴων σκληρόφθαλμα y) **29** φράγμα o—WP *cf Th 69,30* : πῶμα WPE$_a$ ἃ μὴ o—XP *Th 69,31* : ἃ ἂν μὴ XPE$_a$ (κινήσειας X : κινήσῃ PE$_a$) **30** (ἀνασπάσειας X : ἀνασπάσῃ PE$_a$) **31** εὐθέως ECWy *Si^p 154,27* : εὐθὺς SUVXE$_a$ *Th 69,32 So 92,38* : εὐθέα P τὸ γενόμενον UX : «τὸ γινόμενον χρῶμα» *Th 69,33* : ὅτι ἂν τεθῇ PE$_a$ *So 93,1*

422ᵃ 2 (ἔχε ν] ὥσπερ X) (ἀνακαλύπτεσθαι U) **3** φλεβίων SUVX *Ph^p 395,13* : φλεβῶν ECyPE$_a$ *Th 70,1* : φλεφῶν W **7** δυνάμει ECVWyP *So 93,26* : τὸ δυνάμει SUXE$_a$ *Ph^l Th 70,9* **9** (ὄντος ἀλλοτρίου U) **10** (ἡι ἀφῆ E) δὲ ECVWyP *Si^c 155,7 Ph^l D^2* : om SUXE$_a$ *Ph^l Alex^c ap Ph 399,21* **11** ὕλῃι EPE$_a$ *Si^c 155,7 Ph^l P398,27 ; 401,17 So 93,38* : ὕλη SUVW *Si^p 155,9* : ἐν ὕλῃ [ἐν eras] C, [ἐν eras; ὕλῃ quod sequitur in ras X^x, subf ὕδατι ?] X : ἐν ὕδατι γρ. mg C^2 : ὕδατι *Alex^v ap Ph 399,22* : ὡς ὕλη om y [ins y^2] κἂν ECyPE$_a$ *Ph^l Th 70,24 So 94,1* : καὶ SUVWX *Si^l* εἰ om *Ph^l D Th 70,24 So 94,1*

ὕδατι ἦμεν, ᾐσθανόμεθ' ἂν ἐμβληθέντος τοῦ γλυκέος· οὐκ ἦν δ' ἂν ἡ αἴσθησις ἡμῖν διὰ τοῦ μεταξύ, ἀλλὰ τῷ μειχθῆναι τῷ ὑγρῷ, καθάπερ ἐπὶ τοῦ ποτοῦ. τὸ δὲ χρῶμα οὐχ οὕτως ὁρᾶται τῷ μείγνυσθαι, οὐδὲ ταῖς ἀπορροίαις. ὡς μὲν οὖν τὸ μεταξὺ οὐθέν ἐστιν· ὡς δὲ χρῶμα τὸ ὁρατόν, οὕτω τὸ γευστὸν ὁ χυμός. οὐθὲν δὲ ποιεῖ χυμοῦ αἴσθησιν ἄνευ ὑγρότητος, ἀλλ' ἔχει ἐνεργείᾳ ἢ δυνάμει ὑγρότητα, οἷον τὸ ἁλμυρόν· εὔτηκτόν τε γὰρ αὐτὸ καὶ συντηκτικὸν γλώττης. ὥσπερ δὲ καὶ ἡ ὄψις ἐστὶ τοῦ τε ὁρατοῦ καὶ τοῦ ἀοράτου (τὸ γὰρ σκότος ἀόρατον, κρίνει δὲ καὶ τοῦτο ἡ ὄψις), ἔτι τοῦ λίαν λαμπροῦ (καὶ γὰρ τοῦτο ἀόρατον, ἄλλον δὲ τρόπον τοῦ σκότους), ὁμοίως δὲ καὶ ἡ ἀκοὴ ψόφου τε καὶ σιγῆς, ὧν τὸ μὲν ἀκουστὸν τὸ δ' οὐκ ἀκουστόν, καὶ μεγάλου ψόφου, καθάπερ ἡ ὄψις τοῦ λαμπροῦ (ὥσπερ γὰρ ὁ μικρὸς ψόφος ἀνήκουστος, τρόπον τινὰ καὶ ὁ μέγας τε καὶ ὁ βίαιος), ἀό-

12 ἦμεν SUVWXy *Si*^{l} *Ph*^{l} *p399, 9* *So 94, 1*: εἶμεν E [εἶ in ras, subf η ?], C [sscr ἦ C^3]: εἴημεν E_a: ὦμεν P *Th 70, 24* ᾐσθανόμεθα SUVWXy *Si*^{l} *Ph*^{l} *p399, 10* *So 94, 1*: αἰσθανόμεθα CPE_a *cf Th 70, 24*: αἰσθανοίμεθα E **14** (μιχθήσει S) (τὸ ὑγρὸν W) (χρῶμα δὲ W) **15** (ὁρᾶτε S) (οὐδὲν V) **16** (τῷ μ. X) (οὕτω καὶ τὸ V) **17** χυμοῦ αἴσθησιν ECWXy *Ph*^{l} *So 94, 14*: αἴσθησιν χυμοῦ $SUVPE_a$ **18** ἀλλ' . . . ὑγρότητα $SUVXyPE_a$ *Si*^{p} *155, 30* *Ph*^{l} *Th 70, 37* *So 94, 15*: om EC [suppl mg C^2]: post **19** ἁλμυρόν W ἐνεργείᾳ ἢ δυνάμει C^2 $SUVXyPE_a$ *Ph*^{l}: ἢ δυνάμει ἢ ἐνεργείᾳ W *cf Th 70, 37* *So 94, 15* ὑγρότητα $C^2UVWXyPE_a$ *Ph*^{l}: ὑγρότητος S *So 94, 16* **19** (ἁλμυροῦν X: ἁλμηροῦν S) εὔτηκτον ECVW, y [corr ex εὔπηκτον ?]: τηκτόν $SUXPE_a$ *So 94, 17* *cf Si*^{p} *155, 33* *Ph*^{p} *401, 20* (συντηκτὸν X: συμπηκτὸν y) (γλώσσης SUV) **20** (ἡ] καὶ S: om U) τε $SUVXPE_a$ *Si*^{l} *Ph*^{l} *p402, 34* *Th 71, 6* *So 94, 24*: om ECWy τοῦ$_2$ $ECVXPE_a$ *Si*^{l} *Ph*^{l} *p402, 34* *Th 71, 6* *So 94, 25*: om SUWy **21** (ἔτι τι τοῦ E) **23** (τε κριτικὴ καὶ V) **25** (τοῦ λαμπροῦ ἡ ὄψις P) (ὡς γὰρ X *cf So 94, 27*) **26** (ἀνήκουστος, οὕτως τρ. y) ὁ$_2$ ECSUVX *Th 71, 14*: om WyP *So 94, 28* (ἀνόρατον *Ph*^{l})

ρατον δὲ τὸ μὲν ὅλως λέγεται, ὥσπερ καὶ ἐπ' ἄλλων τὸ ἀδύνατον, τὸ δ' ἐὰν πεφυκὸς μὴ ἔχῃ ἢ φαύλως, ὥσπερ τὸ ἄπουν καὶ τὸ ἀπύρηνον· οὕτω δὴ καὶ ἡ γεῦσις τοῦ γευστοῦ τε καὶ ἀγεύστου, τοῦτο δὲ τὸ μικρὸν ἢ φαῦλον ἔχον χυμὸν ἢ φθαρτικὸν τῆς γεύσεως. δοκεῖ δ' εἶναι ἀρχὴ τὸ ποτὸν καὶ ἄποτον· γεῦσις γάρ τις ἀμφότερα· ἀλλὰ τὸ μὲν φαύλη καὶ φθαρτικὴ τῆς γεύσεως, τὸ δὲ κατὰ φύσιν· ἔστι δὲ κοινὸν ἁφῆς καὶ γεύσεως τὸ ποτόν. ἐπεὶ δ' ὑγρὸν τὸ γευστόν, ἀνάγκη καὶ τὸ αἰσθητήριον αὐτοῦ μήτε ὑγρὸν εἶναι ἐντελε- 422b χείᾳ μήτε ἀδύνατον ὑγραίνεσθαι. πάσχει γάρ τι ἡ γεῦσις ὑπὸ τοῦ γευστοῦ, ᾗ γευστόν. ἀναγκαῖον ἄρα ὑγρανθῆναι τὸ δυνάμενον μὲν ὑγραίνεσθαι σωζόμενον, μὴ ὑγρὸν δέ, τὸ γευστικὸν αἰσθητήριον. σημεῖον δὲ τὸ μήτε κατάξηρον οὖσαν τὴν γλῶτταν αἰσθάνεσθαι μήτε λίαν ὑγράν· αὕτη γὰρ ἁφὴ γίνεται τοῦ πρώτου ὑγροῦ, ὥσπερ ὅταν προγευματίσας τις ἰσχυροῦ χυμοῦ γεύηται ἑτέρου· καὶ οἷον τοῖς κάμνουσι πικρὰ πάντα φαίνεται διὰ τὸ τῇ γλώττῃ πλήρει τοιαύτης ὑγρό-

28 ἐὰν SUVX : ἂν ECWyP *So 94, 30* **29** (ἄπλουν E : ἄπτον S) τὸ$_2$ SVWXyP : om ECU *Si*^{p} *156, 16 Ph*^{l} *cf* ^{p}*404, 1* (ἀπύρινον SV : ἄπυρον y, ἀπύρηνον corr y[1]) (δὴ οὕτω post γεῦσις P) δὴ SVP *So 94, 28* [τοι] : δὲ ECUWXy *Si*^{c} *156, 24* **30** τε ECWX *cf Th 71, 7* : om SUVyP *Si*^{c} *156, 25 So 94, 28* ἀγεύστου ECWXyP *Si*^{c} *156, 25 So 94, 29* : τοῦ ἀγεύστου SUV *Th 71, 7* **31** (ἢ καὶ τῆς γεύσεως φθαρτικὸν y) (ἀρχὴ εἶναι P) **32** ἄποτον **o**—P *Si*^{l} : τὸ ἄποτον P *Ph*^{l} *cf So 95, 1* (γὰρ ἄν τις U) (τῷ P) **33** τῆς γεύσεως om WyP *So 95, 3* (τῷ P)

422 b 1 (ἀναγκαῖον y) καὶ ECUWyP : om SVX *Si*^{l} *Ph*^{l} *Th 71, 31 So 95, 11* **2** (ὑγραίνεσθαι ἀδύνατον WX) (ὑπὸ τοῦ γευστοῦ ἡ γεῦσις P) **3** ἀνάγκη P *Ph*^{c} *405, 15 cf So 95, 14* (om ἄρα P) **4** μὲν ECWyP *Ph*^{c} *405, 16 cf Th 71, 34* : om SUVX **6** γλῶσσαν CVW ἁφὴ SUVWXy *Ph*^{c} *406, 1 So 95, 15* : ἡ ἁφὴ ECP *Si*^{c} *157, 24* **7** (γεύηται W) (ὅτε W) **8** (χυμοῦ om E) **9** (δοκεῖ P) (τὴν E) (τὴν γλῶτταν πλήρη y) (καὶ om y)

τητος αἰσθάνεσθαι. τὰ δ' εἴδη τῶν χυμῶν, ὥσπερ καὶ ἐπὶ τῶν χρωμάτων, ἁπλᾶ μὲν τἀναντία, τὸ γλυκὺ καὶ τὸ πικρόν, ἐχόμενα δὲ τοῦ μὲν τὸ λιπαρόν, τοῦ δὲ τὸ ἁλμυρόν· μεταξὺ δὲ τούτων τό τε δριμὺ καὶ τὸ αὐστηρὸν καὶ στρυφνὸν καὶ ὀξύ· σχεδὸν γὰρ αὗται δοκοῦσιν εἶναι διαφοραὶ χυμῶν. ὥστε τὸ γευστικόν ἐστι τὸ δυνάμει τοιοῦτον, γευστὸν δὲ τὸ ποιητικὸν ἐντελεχείᾳ αὐτοῦ.

Περὶ δὲ τοῦ ἁπτοῦ καὶ περὶ ἁφῆς ὁ αὐτὸς λόγος· εἰ γὰρ ἡ **11**
ἁφὴ μὴ μία ἐστὶν αἴσθησις ἀλλὰ πλείους, ἀναγκαῖον καὶ τὰ ἁπτὰ αἰσθητὰ πλείω εἶναι. ἔχει δ' ἀπορίαν πότερον πλείους εἰσὶν ἢ μία, καὶ τί τὸ αἰσθητήριον τὸ τοῦ ἁπτικοῦ, πότερον ἡ σὰρξ καὶ ἐν τοῖς ἄλλοις τὸ ἀνάλογον, ἢ οὔ, ἀλλὰ τοῦτο μέν ἐστι τὸ μεταξύ, τὸ δὲ πρῶτον αἰσθητήριον ἄλλο τί ἐστιν ἐντός. πᾶσά τε γὰρ αἴσθησις μιᾶς ἐναντιώσεως εἶναι δοκεῖ, οἷον ὄψις λευκοῦ καὶ μέλανος καὶ ἀκοὴ ὀξέος καὶ βαρέος καὶ γεῦσις πικροῦ καὶ γλυκέος· ἐν δὲ τῷ ἁπτῷ πολλαὶ ἔνεισιν ἐναντιώσεις, θερμὸν ψυχρόν, ξηρὸν ὑγρόν, σκληρὸν μαλακόν, καὶ τῶν ἄλλων ὅσα τοιαῦτα. ἔχει δέ

13 τὸ$_2$ ECWXy : om SUVP **15** (εἶναι X) (δυνάμενον V) **17** τοῦ o—S *Si*^{l} *Ph*^{c} *422, 11* : om S *Ph*^{l} περὶ$_2$ ECXyP *Si*^{l} *Ph*^{c} *422, 11* : τῆς W *cf Si*^{p} *159, 18* : om SUV **18** (μὴ μία αἴσθησίς ἐστιν ἡ ἁφὴ P) (μὴ om S) **19** (ἁπτὰ om *Ph*^{c} *422, 15D*) αἰσθητὰ πλείω εἶναι ECUWy *Ph*^{c} *422, 15* : πλείω εἶναι αἰσθητὰ S *Si*^{l} : πλείω αἰσθητὰ εἶναι VXP *So 96, 16* (μία ἢ πλ. εἰσίν P) **20** τὸ$_2$ ECUWyP : om SVX *cf Si*^{p} *159, 26* ἁπτικοῦ o—WP *Si*^{p} *159, 26 Th 72, 12 So 96, 16* : ἁπτοῦ W [sscr -κοῦ W^{2}]. P **21** ἡ ECWXyP *Si*^{c} *159, 26 Th 72, 13 So 96, 17* : om SUV (τὸ ἀνάλογον ἐν τοῖς ἄλλοις P) ἐν o—W *So 96, 17* : om W *Si*^{c} *159, 27* τὸ o *Th 72, 13 So 96, 17* : om *Si*^{c} *159, 27* **23** (ἐστι καὶ ἐντός V) (ἅπασα W) (τε] μὲν y : om X) **24** (βαρέος καὶ ὀξέος X) **25** (βαρέως E) (καὶ γεῦσις . . . γλυκέος ante **24** καὶ ἀκοὴ P) **26** ἔνεισιν ECUy : εἰσὶν SVWXP (ὑγρὸν ξηρὸν y)

τινα λύσιν πρός γε ταύτην τὴν ἀπορίαν, ὅτι καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεών εἰσιν ἐναντιώσεις πλείους, οἷον ἐν φωνῇ οὐ μόνον ὀξύτης καὶ βαρύτης, ἀλλὰ καὶ μέγεθος καὶ μικρότης καὶ λειότης καὶ τραχύτης φωνῆς καὶ τοιαῦθ' ἕτερα. εἰσὶ δὲ καὶ περὶ χρῶμα διαφοραὶ τοιαῦται ἕτεραι. ἀλλὰ τί τὸ ἓν τὸ ὑποκείμενον, ὥσπερ ἀκοῇ ψόφος, οὕτω τῇ ἁφῇ, οὐκ ἔστιν ἔνδηλον.

πότερον δ' ἐστὶ τὸ αἰσθητήριον ἐντός, ἢ οὔ, ἀλλ' 423a εὐθέως ἡ σάρξ, οὐδὲν δοκεῖ σημεῖον εἶναι τὸ γίνεσθαι τὴν αἴσθησιν ἅμα θιγγανομένων. καὶ γὰρ νῦν εἴ τις περὶ τὴν σάρκα περιτείνειεν οἷον ὑμένα ποιήσας, ὁμοίως τὴν αἴσθησιν εὐθέως ἁψάμενος ἐνσημαίνει· καίτοι δῆλον ὡς οὐκ ἔστιν ἐν τούτῳ τὸ αἰσθητήριον· εἰ δὲ καὶ συμφυὲς γένοιτο, θᾶττον ἔτι διικνοῖτ' ἂν ἡ αἴσθησις. διὸ τὸ τοιοῦτο μόριον τοῦ σώματος ἔοικεν οὕτως ἔχειν ὥσπερ ἂν εἰ κύκλῳ ἡμῖν περιεπεφύκει ὁ ἀήρ· ἐδοκοῦμεν γὰρ ἂν ἑνί τινι αἰσθάνεσθαι καὶ ψόφου καὶ χρώματος καὶ ὀσμῆς, καὶ μία τις αἴσθησις εἶναι ὄψις ἀκοὴ

28 (τὴν ἀπ. ταύτην W) καὶ ὅτι *Si*^{c} *160, 6* **29** (πλεῖστα y) **30** (σμικρότης Wy) **31** (τελειότης S) **32** χρώματα *Si*^{c} *160, 13* **33** (τῇ ἀκοῇ y) **34** ἔνδηλον yX² *Si*^{c} *160, 30 Ph*^{l} : ἓν δῆλον E : ἐν δῆλον CW : ἔκδηλον *Si*^{l} *A* : δῆλον SUVX : ☞ P

423ª 1 εἶναι o—X *Si*^{l} *Ph*^{l} : om X *Ph*^{c} *424, 26* (τῶι E) γίνεσθαι ... **2** θιγγανομένων ☞ P **2** θιγγανομένων ECUVWX : θιγγανόμενον S : θιγγανομένω y *Si*^{l} *Ph*^{l} *cf Th 73, 1* [θιγγάνοντι] : θιγγανομένου *Ph*^{c} *424, 27* : θιγγάνοντος P (καὶ] οὐ y) νῦν ECWXyP *Th 73, 1* : om SUV **3** ὁμοίως ... **5** αἰσθητήριον ☞ P **4** (ἐνσημήνειε corr X² ex ἐνσημαίνει) **5** συμφυὲς γ. ☞ P γένοιτο ECWy *Si*^{p} *161, 27* : γίγνοιτο SUVX (θᾶσσον X) **6** τοιοῦτο EC *Ph*^{l} *c425, 22 Th 73, 7* : τοιοῦτον o—EC **7** ἂν o—X *Si*^{l} : om X *Ph*^{l} *c425, 23* **8** (ἐδόκει μὲν γὰρ *Ph*^{c} *425, 23*) τινι o—yP *Ph*^{c} *425, 24* : om yP **9** ὀσμῆς SUVXP *Ph*^{c} *425, 24* : ὀδμῆς ECWy (εἶναι] ἦν ἡ X) (ὄψις καὶ ἀκοὴ S)

ὄσφρησις. νῦν δὲ διὰ τὸ διωρίσθαι δι' οὗ γίνονται αἱ κινήσεις, φανερὰ τὰ εἰρημένα αἰσθητήρια ἕτερα ὄντα. ἐπὶ δὲ τῆς ἁφῆς τοῦτο νῦν ἄδηλον· ἐξ ἀέρος μὲν γὰρ ἢ ὕδατος ἀδύνατον συστῆναι τὸ ἔμψυχον σῶμα· δεῖ γάρ τι στερεὸν εἶναι. λείπεται δὴ μεικτὸν ἐκ γῆς καὶ τούτων εἶναι, οἷον βούλεται ἡ σὰρξ καὶ τὸ ἀνάλογον· ὥστε ἀναγκαῖον καὶ τὸ σῶμα εἶναι τὸ μεταξὺ τοῦ ἁπτικοῦ προσπεφυκός, δι' οὗ γίνονται αἱ αἰσθήσεις πλείους οὖσαι. δηλοῖ δ' ὅτι πλείους ἡ ἐπὶ τῆς γλώττης ἁφή· ἁπάντων γὰρ τῶν ἁπτῶν αἰσθάνεται κατὰ τὸ αὐτὸ μόριον καὶ χυμοῦ. εἰ μὲν οὖν καὶ ἡ ἄλλη σὰρξ ᾐσθάνετο τοῦ χυμοῦ, ἐδόκει ἂν ἡ αὐτὴ καὶ μία εἶναι αἴσθησις ἡ γεῦσις καὶ ἡ ἁφή· νῦν δὲ δύο διὰ τὸ μὴ ἀντιστρέφειν.

ἀπορήσειε δ' ἄν τις, εἰ πᾶν σῶμα βάθος ἔχει, τοῦτο δ' ἐστὶ τὸ τρίτον μέγεθος, ὧν δ' ἐστὶ δύο σωμάτων μεταξὺ σῶμά τι, οὐκ ἐνδέχεται ταῦτα ἀλλήλων ἅπτεσθαι, τὸ δ' ὑγρὸν οὐκ ἔστιν ἄνευ σώματος, οὐδὲ τὸ

10 διωρίσθαι ☛ P κινήσεις **o**—U *So 99, 24* : κινήσεις καὶ αἱ αἰσθήσεις U : γρ. αἰσθήσεις mgS *Th 73, 18* **11** (εἰρημένα om X) **12** τοῦτο νῦν SUVXyP Si^{c} *162, 2* : τοῦτο μὲν νῦν EC [μὲν exp], W **13** τι ECSVWy : om UXP Ph^{l} *Th 73, 22 So 99, 29* **14** δὴ CW, [corr in δὲ] y *Th 73, 23* : δὲ ESUVXP βούλεται **o**—P : βούλεται εἶναι P *Th 73, 24 So 99, 31* **15** ἀνάλογον ὥστε ☛ P ἀναγκαῖον καὶ SVWXy Si^{l}: ἀναγκαῖον εἶναι καὶ E,C [exp εἶναι]: ἀναγκαῖον U Ph^{l} : ἀνάγκη P *So 99, 33* (εἶναι τὸ σῶμα U) τὸ$_3$ XyP $Si^{l\,p}$*162, 24* Ph^{l} *Th 73, 28* : om ECSUVW *So 99, 34* **16** αἱ ECSUXP Si^{l} : om VWy **17** (γλώσσης Xy) ἁπάντων **o**—X *Th 73, 33* : πάντων X Ph^{l} **18** αἰσθάνεται EVXP Ph^{l} *Th 73, 34* : αἴσθεται CSUy : ᾐσθάνετο W **19** καὶ ἡ ECWXyP Si^{p} *163, 1 Th 74, 1* : ἡ SU : καὶ V (αἰσθάνεται W) τοῦ ECUVWy *Th 74, 1* : om SXP ἂν ECVWyP *Th 74, 2* : om SUX ἐδόκει ... **20** ἁφή ☛ P **20** (εἶναι καὶ μία X) (αἴσθησις εἶναι y) **21** ἀπορήσειε δ' ἄν τις ☛ P **22** (βάρος S) **23** δύο ECWyP *So 97, 36* : om SUVX *Th 74, 7* (μεταξὺ δύο σωμάτων W) οὐκ ἐνδέχεται ☛ P ταῦτα SUVXP *Th 74, 7 So 97, 36* : αὐτὰ ECWy

διερόν, ἀλλ' ἀναγκαῖον ὕδωρ εἶναι ἢ ἔχειν ὕδωρ, τὰ δὲ ἁπτόμενα ἀλλήλων ἐν τῷ ὕδατι, μὴ ξηρῶν τῶν ἄκρων ὄντων, ἀναγκαῖον ὕδωρ ἔχειν μεταξύ, οὗ ἀνάπλεα τὰ ἔσχατα, εἰ δὲ τοῦτ' ἀληθές, ἀδύνατον ἅψασθαι ἄλλο ἄλλου ἐν ὕδατι, τὸν αὐτὸν δέ τρόπον καὶ ἐν τῷ ἀέρι (ὁμοίως γὰρ ἔχει ὁ ἀὴρ πρὸς τὰ ἐν αὐτῷ καὶ τὸ ὕδωρ πρὸς τὰ ἐν τῷ ὕδατι, λανθάνει δὲ μᾶλλον ἡμᾶς, ὥσπερ καὶ τὰ ἐν τῷ ὕδατι ζῷα, εἰ διερὸν διεροῦ ἅπτεται)· πότερον οὖν πάντων ὁμοίως ἐστὶν ἡ αἴ- 423b σθησις, ἢ ἄλλων ἄλλως, καθάπερ νῦν δοκεῖ ἡ μὲν γεῦσις καὶ ἡ ἁφὴ τῷ ἅπτεσθαι, αἱ δ' ἄλλαι ἄποθεν. τὸ δ' οὐκ ἔστιν, ἀλλὰ καὶ τὸ σκληρὸν καὶ τὸ μαλακὸν δι' ἑτέρων αἰσθανόμεθα, ὥσπερ καὶ τὸ ψοφητικὸν καὶ τὸ ὁρατὸν καὶ τὸ ὀσφραντόν· ἀλλὰ τὰ μὲν πόρρωθεν, τὰ δ' ἐγγύθεν (διὸ λανθάνει). [ἐπεὶ αἰσθανόμεθά γε πάντων διὰ τοῦ μέσου· ἀλλ' ἐπὶ τούτων λανθάνει.] καίτοι καθάπερ εἴπομεν καὶ πρότερον, κἂν εἰ δι' ὑμένος αἰσθανοίμεθα τῶν ἁπτῶν ἁπάντων λανθάνοντος ὅτι διείργει, ὁμοίως ἂν ἔχοιμεν ὥσπερ καὶ νῦν ἐν τῷ ὕδατι καὶ ἐν τῷ ἀέρι· δοκοῦμεν γὰρ νῦν αὐτῶν ἅπτεσθαι

25 ὕδωρ₂ ECWXyP *Sic 163, 21 So 97, 38* : ὕδατος SUV **27** (ἔχειν ὕδωρ X) οὗ ECWyP *Th 74, 11 So 98, 2* : ὧ SUV [sscr οὗ], X **28** (ἄψεσθαι S) **29** (ἔχει καὶ ὁ W) **30** τὸ SUVWXy *So 98, 4* : om EC ☞ P ἐν τῷ SUVX : ἐν αὐτῷ τῷ ECWyP *cf So 98, 4* **31** (μᾶλλον om X)

423b 1 (διερὸν διεροῦ ε bis ex αι corr E^x) πάντων ὁμοίως ECWyP *Phl* : ὁμοίως πάντων X : ἁπάντων ὁμοίως SUV **2** μὲν γὰρ γεῦσις Wy **3** (ἀφὴ ἐν τῷ X) **5** ψοφητικὸν ECWy : ψοφητὸν SUVX : ἔχον ψόφον P *So 98, 8* **6** τὰ bis ECWyP *So 98, 8* : τὸ bis SUVX **7** ἐπεὶ ... **8** λανθάνει del Essen (γε om y) **8** (ἐπεὶ X) (εἴπαμεν E) (καὶ om X) **9** (κἂν] καὶ y) αἰσθανοίμεθα CWE_a *Th 75, 4* : ᾐσθανοίμεθα E : αἰσθανόμεθα SV [sscr οι], X : αἰσθανόμεθα U [corr -ω- U^2], yP (ἁπτῶν] ἁπόντων X) **11** ἐν ECUWXPE_a : om SVy νῦν ECWy : om SUVXPE_a *So 98, 11*

423b 8 καθάπερ εἴπομεν ... **424b 18** γίνεται ☞ PE_a

καὶ οὐδὲν εἶναι διὰ μέσου. ἀλλὰ διαφέρει τὸ ἁπτὸν τῶν ὁρατῶν καὶ ψοφητικῶν, ὅτι ἐκεῖνα μὲν αἰσθανόμεθα τῷ τὸ μεταξὺ ποιεῖν τι ἡμᾶς, τῶν δὲ ἁπτῶν οὐχ ὑπὸ τοῦ μεταξὺ ἀλλ' ἅμα τῷ μεταξύ, ὥσπερ ὁ δι' ἀσπίδος πληγείς. οὐ γὰρ ἡ ἀσπὶς πληγεῖσα ἐπάταξεν, ἀλλ' ἅμ' ἄμφω συνέβη πληγῆναι, ὅλως δ' ἔοικεν ἡ σὰρξ καὶ ἡ γλῶττα, ὡς ὁ ἀὴρ καὶ τὸ ὕδωρ πρὸς τὴν ὄψιν καὶ τὴν ἀκοὴν καὶ τὴν ὄσφρησιν ἔχουσιν, οὕτως ἔχειν πρὸς τὸ αἰσθητήριον ὥσπερ ἐκείνων ἕκαστον. αὐτοῦ δὲ τοῦ αἰσθητηρίου ἁπτομένου οὔτ' ἐκεῖ οὔτ' ἐνταῦθα γένοιτ' ἂν αἴσθησις, οἷον εἴ τις τὸ σῶμα τὸ λευκὸν ἐπὶ τοῦ ὄμματος θείη τὸ ἔσχατον. ᾗ καὶ δῆλον ὅτι ἐντὸς τὸ τοῦ ἁπτοῦ αἰσθητικόν. οὕτω γὰρ ἂν συμβαίνοι ὅπερ καὶ ἐπὶ τῶν ἄλλων· ἐπιτιθεμένων γὰρ ἐπὶ τὸ αἰσθητήριον οὐκ αἰσθάνεται, ἐπὶ δὲ τὴν σάρκα ἐπιτιθεμένων αἰσθάνεται· ὥστε τὸ μεταξὺ τοῦ ἁπτικοῦ ἡ σάρξ.

ἁπταὶ μὲν οὖν εἰσὶν αἱ διαφοραὶ τοῦ σώματος ᾗ σῶμα· λέγω δὲ διαφορὰς αἳ τὰ στοιχεῖα διορίζουσι, θερμὸν ψυχρόν, ξηρὸν ὑγρόν, περὶ

12 (τὸ om X) ὁρατῶν SUVWXPE$_a$ *Si^l Ph^l ^{c}432, 17 So 98, 13 :* ὁρατικῶν ECy **13** ψοφητικῶν ECyPE$_a$ *Ph^l ^{c}432, 17 So 98, 13 :* τῶν ψοφητικῶν SUVWX *Si^l* ἐκεῖνα **o**—P *:* ἐκείνων PE$_a$ *So 98, 13* **16** ἅμ' EPE$_a$ *Ph^p 432, 8 . 10 Th 75, 16 So 98, 17 :* om **o**—EP **17** (γλῶσσα CSUVXy) **18** ὁ EUWyPE$_a$ *Si^l Ph^l So 99, 8 :* om CSVX **20** ἁπτομένου ECSWyPE$_a$: ἁπτομένων UVX **21** ἂν ECWyPE$_a$: om SUVX (εἴ τις post **22** λευκὸν y) τὸ yE$_a$ *cf Ph^p 433, 24 :* om **o**—y **22** τὸ EWyPE$_a$, eras C : om SUVX ᾗ EX *Si^c 164, 14 :* ἢ CWyP : η E$_a$: om SUV **23** (γὰρ συμβαίνει W) **24** ὅπερ ECWyPE$_a$: ὥσπερ SUVX καὶ E : om **o**—E, E$_a$ **26** τὸ om XPE$_a$ ἁπταὶ ESUVWXE$_a$, [eras ut v ι] C *Si^p 158, 23 :* ἁπτὰ y *Ph^l ^{p}434, 9 So 100, 28 :* αὗται P *Si^l ^{c}164, 18* (εἰσὶν αὗται αἱ W) **28** αἳ ECWyP : αἷς SUVXE$_a$ *cf So 100, 28*

ὧν εἰρήκαμεν πρότερον ἐν τοῖς περὶ τῶν στοιχείων. τὸ δὲ αἰσθητήριον αὐτῶν τὸ ἁπτικόν, καὶ ἐν ᾧ ἡ καλουμένη ἁφὴ ὑπάρχει αἴσθησις πρώτῳ, τὸ δυνάμει τοιοῦτόν ἐστι μόριον· τὸ γὰρ αἰσθάνεσθαι πάσχειν τι ἐστίν. ὥστε τὸ ποιοῦν, οἷον αὐτὸ ἐνεργείᾳ, 424 a τοιοῦτον ἐκεῖνο ποιεῖ δυνάμει ὄν. διὸ τοῦ ὁμοίως θερμοῦ καὶ ψυχροῦ ἢ σκληροῦ καὶ μαλακοῦ οὐκ αἰσθανόμεθα, ἀλλὰ τῶν ὑπερβολῶν, ὡς τῆς αἰσθήσεως οἷον μεσότητός τινος οὔσης τῆς ἐν τοῖς αἰσθητοῖς ἐναντιώσεως. καὶ διὰ τοῦτο κρίνει τὰ αἰσθητά. τὸ γὰρ μέσον κριτικόν· γίνεται γὰρ πρὸς ἑκάτερον αὐτῶν θάτερον τῶν ἄκρων· καὶ δεῖ ὥσπερ τὸ μέλλον αἰσθήσεσθαι λευκοῦ καὶ μέλανος μηδέτερον αὐτῶν εἶναι ἐνεργείᾳ, δυνάμει δ' ἄμφω (οὕτω δὲ καὶ ἐπὶ τῶν ἄλλων), καὶ ἐπὶ τῆς ἁφῆς μήτε θερμὸν μήτε ψυχρόν. ἔτι δ' ὥσπερ ὁρατοῦ καὶ ἀοράτου ἦν πως ἡ ὄψις, ὁμοίως δὲ καὶ αἱ λοιπαὶ τῶν ἀντικειμένων, οὕτω καὶ ἡ ἁφὴ τοῦ ἁπτοῦ καὶ ἀνάπτου· ἄναπτον δ' ἐστὶ τό τε μικρὰν ἔχον πάμπαν διαφορὰν τῶν ἁπτῶν, οἷον πέπονθεν ὁ ἀήρ, καὶ τῶν ἁπτῶν αἱ ὑπερβολαί, ὥσπερ τὰ φθαρτικά. καθ' ἑκάστην μὲν οὖν τῶν αἰσθήσεων εἴρηται τύπῳ.

29 τῶν ECyPE$_a$ *Ph*^{p} *434,11* : om SUVWX *Si*^{p} *164, 24* *So 100, 30* αἰσθητήριον **o** E$_a$ *Si*^{l} *Th 76, 36* *So 101, 30* : αἰσθητικὸν *Si*^{c} *158, 25* **31** αἴσθησις ECWy *Si*$^{l\,c}$*158, 25* : om SUVXPE$_a$ *Th 76, 36* *So 101, 31* πρώτῳ ECSUVXE$_a$ *Si*$^{l\,c}$*158, 25* [πρώτως *A a*], *Th 76, 36* : πρώτως WyP *So 101, 31*

424 a 2 (ὁμοίου C) καὶ ECWXy : ἢ SUVPE$_a$ *Ph*^{l} *Th 77,6* *So 101, 35* **3** (ἢ] καὶ V) καὶ ECWXy : ἢ SUVPE$_a$ *Ph*^{l} *Th 77,6* *So 101, 35* **5** καὶ **o**—E, E$_a$ *Ph*^{c} *435, 24* *So 102, 6* : om E **6** αἰσθητά ECWyPE$_a$ *Ph*^{c} *435, 24* *So 102, 6* : αἰσθητήρια SUVX **9** δὲ$_2$ ECVW : δὴ SUPE$_a$: om Xy ἐπὶ$_2$ ECUWyPE$_a$: om SVX **10** (ψυχρὸν μήτε θερμόν y) ὁρατοῦ κ. ἀοράτου **o**—P : τοῦ τε ὁρ. κ. τοῦ ἀορ. PE$_a$ et om τε *Ph*^{l} *Th 77, 22* **12** (καὶ$_1$ om X) (καὶ τοῦ ἀνάπτου, exp τοῦ C) **13** (πάμπαν ἔχον X)

Καθόλου δὲ περὶ πάσης αἰσθήσεως δεῖ λαβεῖν ὅτι ἡ **12** μὲν αἴσθησίς ἐστι τὸ δεκτικὸν τῶν αἰσθητῶν εἰδῶν ἄνευ τῆς ὕλης, οἷον ὁ κηρὸς τοῦ δακτυλίου ἄνευ τοῦ σιδήρου καὶ τοῦ χρυσοῦ δέχεται τὸ σημεῖον, λαμβάνει δὲ τὸ χρυσοῦν ἢ τὸ χαλκοῦν σημεῖον, ἀλλ' οὐχ ᾗ χρυσὸς ἢ χαλκός. ὁμοίως δὲ καὶ ἡ αἴσθησις ἑκάστου ὑπὸ τοῦ ἔχοντος χρῶμα ἢ χυμὸν ἢ ψόφον πάσχει, ἀλλ' οὐχ ᾗ ἕκαστον ἐκείνων λέγεται, ἀλλ' ᾗ τοιονδί, καὶ κατὰ τὸν λόγον. αἰσθητήριον δὲ πρῶτον ἐν ᾧ ἡ τοιαύτη δύναμις. ἔστι μὲν οὖν ταὐτόν, τὸ δ' εἶναι ἕτερον· μέγεθος μὲν γὰρ ἄν τι εἴη τὸ αἰσθανόμενον· οὐ μὴν τό γε αἰσθητικῷ εἶναι οὐδ' ἡ αἴσθησις μέγεθός ἐστιν, ἀλλὰ λόγος τις καὶ δύναμις ἐκείνου. φανερὸν δ' ἐκ τούτων καὶ διὰ τί ποτε τῶν αἰσθητῶν αἱ ὑπερβολαὶ φθείρουσι τὰ αἰσθητήρια· ἐὰν γὰρ ᾖ ἰσχυροτέρα τοῦ αἰσθητηρίου ἡ κίνησις, λύεται ὁ λόγος (τοῦτο δ' ἦν ἡ αἴσθησις), ὥσπερ καὶ ἡ συμφωνία καὶ ὁ τόνος κρουομένων σφόδρα τῶν χορδῶν· καὶ διὰ τί ποτε τὰ φυτὰ οὐκ αἰσθάνεται, ἔχοντά τι μόριον ψυχι-

17 (διαλαβεῖν W) **18** (ἀναισθήτων S) εἰδῶν EVWy, [corr ex εἶδος] C^x *Sil p166, 9 Phl p437, 10 Th 77, 29*: om SUXPE$_a$ *So 102, 21* **19** ὁ SUVWXPE$_a$ *Sip 166, 32 Php 437, 13 Th 77, 29 So 102, 21*: om ECy **20** (λαμβάνει ... **21** σημεῖον om W) **21** (χαλκὸν U) (ᾗ] ὡς U) χαλκὸς ἢ χρυσὸς XPE$_a$ *So 102, 23* **23** (ἐκτείνων X) **24** (ἢ X) (καὶ om *Sil So 102, 26 BC*) (τὸν om E) **25** ταὐτόν EUW *Sil p167, 24 Phc 438, 30 cf Th 78, 15*: ταὐτό Cy, V [ό in ras V^2]: τὸ αὐτό PE$_a$ *cf So 103, 24*: ταῦτα SX (ἕτερον μέγεθος· μέγεθος μὲν y) **26** (μὲν om C) (τι εἴη] ἦν X) τῷ γε Sy **28** (ἐκεῖνο E) (δὴ C) **29** (ποτε om y) **30** ᾖ ECWyE$_a$ *So 103, 30 cf Th 78, 19*: om SU [ins U^2], VXP (ἰσχυρωτέρα E) **31** ᾖ, ἡ SUVX *Th 78, 21*: ἦν PE$_a$ *So 103, 31*: ἡ ECW [ins ἦν post αἴσθησις W^2], y *cf Sip 168, 10* (καὶ om W) **32** (κρουομένων σφόδρα] καὶ ἡ κροῦσις X)

κὸν καὶ πάσχοντά τι ὑπὸ τῶν ἁπτῶν αὐτῶν· καὶ γὰρ ψύχεται καὶ θερμαίνεται· αἴτιον γὰρ τὸ μὴ ἔχειν μεσότητα, μηδὲ 424 b τοιαύτην ἀρχὴν οἵαν τὰ εἴδη δέχεσθαι τῶν αἰσθητῶν, ἀλλὰ πάσχειν μετὰ τῆς ὕλης. ἀπορήσειε δ' ἄν τις εἰ πάθοι ἄν τι ὑπ' ὀσμῆς τὸ ἀδύνατον ὀσφρανθῆναι, ἢ ὑπὸ χρώματος τὸ μὴ δυνάμενον ἰδεῖν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. εἰ δὲ τὸ ὀσφραντὸν ὀσμή, εἴ τι ποιεῖ, τὴν ὄσφρησιν ἡ ὀσμὴ ποιεῖ· ὥστε τῶν ἀδυνάτων ὀσφρανθῆναι οὐθὲν οἷόν τε πάσχειν ὑπ' ὀδμῆς· ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων· οὐδὲ τῶν δυνατῶν, ἀλλ' ᾗ αἰσθητικὸν ἕκαστον. ἅμα δὲ δῆλον καὶ οὕτως. οὔτε γὰρ φῶς καὶ σκότος οὔτε ψόφος οὔτε ὀσμὴ οὐδὲν ποιεῖ τὰ σώματα, ἀλλ' ἐν οἷς ἐστίν, οἷον ἀὴρ ὁ μετὰ βροντῆς διίστησι τὸ ξύλον. ἀλλὰ τὰ ἁπτὰ καὶ οἱ χυμοὶ ποιοῦσιν· εἰ γὰρ μή, ὑπὸ τίνος ἂν πάσχοι τὰ ἄψυχα καὶ ἀλλοιοῖτο; ἆρ' οὖν κἀκεῖνα ἐμποιεῖ ἢ οὐ πᾶν σῶμα παθητικὸν ὑπ' ὀσμῆς

34 τι ECVWyP : om SUXE$_a$ *Sil Phl p440, 12 Th 78, 26 So 104, 7* (ἀπὸ y) αὐτῶν ECWy : om SUVXPE$_a$ *Sil Phl p440, 13 Th 78, 27 So 104, 7*

424 b 1 (γὰρ corr in δὲ U²) (μηδὲ] καὶ X : om U, ins U²) **2** τὰ εἴδη δέχεσθαι ECUWy *cf Th 78, 32 :* δέχεσθαι τὰ εἴδη SVX **3** (τῆς om WP) **4** τι SUVX *Sil Phl Th 79, 13 :* om ECWyPE$_a$ *So 104, 15* ὀσμῆς SUVXPE$_a$ *Phl So 104, 15 :* τῆς ὀσμῆς *Sil Th 79, 14 :* ὀδμῆς ECWy (ὀσφρανθῆσθαι S) (ὑπὸ τοῦ χρ. y) **5** (δὲ τὸ ὀσφραντὸν in δὴ τῶν ὀσφραντῶν corr U²) **6** ὀσμή SUVXP *Phl :* ὀδμή ECy : ἡ ὀσμή WE$_a$ (εἴ τι] ὅτι y) ἡ ECyP : ᾗ UW : om SVXE$_a$ ὀσμῇ VX : ὀδμὴ ECWy **7** (τὸ ἀδύνατον y corr U²) (οὐθὲν] μὴ V² in ras : μὴ post οὐθὲν ins W²) ὑπ' ὀδμῆς ECWyP : om SUV [suppl V²], XE$_a$ **9** (αἰσθητικὸν, eras ικ V) (δὲ om SV) (καὶ οὕτως eras, καὶ in ὅτι corr V²) **11** ἀὴρ ὁ ECyPE$_a$: ὁ ἀὴρ SVX : ὁ ἀὴρ ὁ UW **12** ἀλλὰ o—P *Phl :* ἀλλὰ δὴ PE$_a$ *Sil* **13** (πάσχει S) **14** (οὖν οὐ κἀκ. X, οὐ eras) ἐμποιεῖ ECWy : ποιεῖ PE$_a$ *Phl :* ποιήσει SVX : ἐμποιήσει U ὑπ' om *PhlD*

καὶ ψόφου. καὶ τὰ πάσχοντα ἀόριστα. καὶ οὐ μένει, οἷον ἀήρ· ὄζει γὰρ ὥσπερ παθών τι. τί οὖν ἐστὶ τὸ ὀσμᾶσθαι παρὰ τὸ πάσχειν τι; ἢ τὸ μὲν ὀσμᾶσθαι αἰσθάνεσθαι, ὁ δ' ἀὴρ παθὼν ταχέως αἰσθητὸς γίνεται.

15 (ἀνόριστα X, ν eras) **16 et 17** τι ECWyPE$_a$: om SUVX : τι$_2$ om *Ph*^{l} **17** καὶ post ὀσμᾶσθαι in E Bussemaker, sed re vera nota interpungendi **18** (ταχέως om y)

ΑΡΙΣΤΟΤΕΛΟΥΣ

ΠΕΡΙ ΨΥΧΗΣ

Γ.

1 Ὅτι δ' οὐκ ἔστιν αἴσθησις ἑτέρα παρὰ τὰς πέντε (λέγω 424b δὲ ταύτας ὄψιν, ἀκοήν, ὄσφρησιν, γεῦσιν, ἁφήν), ἐκ τῶνδε πιστεύσειεν ἄν τις. εἰ γὰρ παντός, οὗ ἐστὶν αἴσθησις ἁφή, καὶ νῦν αἴσθησιν ἔχομεν (πάντα γὰρ τὰ τοῦ ἁπτοῦ ᾗ ἁπτὸν πάθη τῇ ἁφῇ ἡμῖν αἰσθητά ἐστιν), ἀνάγκη τ', εἴπερ ἐκλείπει τις αἴσθησις, καὶ αἰσθητήριόν τι ἡμῖν ἐκλείπειν· καὶ ὅσων μὲν αὐτῶν ἁπτόμενοι αἰσθανόμεθα, τῇ ἁφῇ αἰσθητά ἐστιν, ἣν τυγχάνομεν ἔχοντες, ὅσα δὲ διὰ τῶν μεταξὺ καὶ μὴ αὐτῶν ἁπτόμενοι, τοῖς ἁπλοῖς, λέγω δ' οἷον ἀέρι καὶ ὕδατι·

22 (ἑτέρα post πέντε W: om *Ph*[l] [legit [c]*450, 35*]) **23** (γεῦσιν καὶ ἁφὴν W *So 105, 16*) τῶνδε CVWy, U [ras 5—6 litt post τῶνδε] *Ph*[l] *Th 80, 3* : τῶνδε δῆλον SX : τούτων **a** *So 105, 17* **25** αἴσθησιν ἔχομεν **a** X *Alex*[l] *89, 27* [c]*90, 8* *Si*[c] *176, 13 : 180, 28* : ἔχομεν αἴσθησιν **b**—X *Si*[l] [c]*187, 19* (τὰ om *Alex*[l] *89, 28* legit [c]*90, 8*) (πάθη ᾗ ἁπτὸν ἁφῇ y) **26** (δ' X) **27** (τι om L *So 105, 10* : post ἡμῖν X) ἐκλείπειν **o**—E *Alex*[l] *89, 30* [c]*90, 15* *Si*[l] [c]*176, 9 ; 187, 21* *Th 80, 15* [ἐλλείπειν] : ἐκλιπειν E [ι in ει corr E[3]], *Alex*[l] *FS* **28** αὐτῶν **a** SUVX, [corr in αὐτοὶ] y *Si*[l] [c]*178, 29 ; 180, 30 ; 187, 21* *So 105, 19* : αὐτοὶ CW *Alex*[l] *89, 30* [c]*90, 21* (τῇ om X) **30** ἁπλοῖς **a** SUVX *Alex*[l] *89, 32* [c]*90, 23* *Ph*[c] *451, 24* *So 105, 24* : ἁπλοῖς διαστήμασι CWy mgU[2] : ἁπλοῖς ἀποστήμασι *Si*[c] *178, 4 ; 180, 31*

ἔχει δ' οὕτως, ὥστ' εἰ μὲν δι' ἑνὸς πλείω αἰσθητὰ ἕτερα ὄντα ἀλλήλων τῷ γένει, ἀνάγκη τὸν ἔχοντα τὸ τοιοῦτον αἰσθητήριον ἀμφοῖν αἰσθητικὸν εἶναι (οἷον εἰ ἐξ ἀέρος ἐστὶ τὸ αἰσθητήριον, καὶ ἔστιν ὁ ἀὴρ καὶ ψόφου καὶ χρόας), εἰ δὲ πλείω
425 a τοῦ αὐτοῦ, οἷον χρόας καὶ ἀὴρ καὶ ὕδωρ (ἄμφω γὰρ διαφανῆ), καὶ ὁ τὸ ἕτερον αὐτῶν ἔχων μόνον αἰσθήσεται τοῦ δι' ἀμφοῖν· τῶν δὲ ἁπλῶν ἐκ δύο τούτων αἰσθητήρια μόνον ἐστίν, ἐξ ἀέρος καὶ ὕδατος (ἡ μὲν γὰρ κόρη ὕδατος, ἡ δ' ἀκοὴ ἀέρος, ἡ δ' ὄσφρησις θατέρου τούτων), τὸ δὲ πῦρ ἢ οὐθενὸς ἢ κοινὸν πάντων (οὐθὲν γὰρ ἄνευ θερμότητος αἰσθητικόν), γῆ δὲ ἢ οὐθενός, ἢ ἐν τῇ ἁφῇ μάλιστα μέμεικται ἰδίως· διὸ λείποιτ' ἂν μηθὲν εἶναι αἰσθητήριον ἔξω ὕδατος καὶ ἀέρος· ταῦτα δὲ καὶ νῦν ἔχουσιν ἔνια ζῷα. πᾶσαι ἄρα αἱ αἰσθήσεις ἔχονται ὑπὸ τῶν μὴ ἀτελῶν μηδὲ πεπηρωμένων· φαίνεται γὰρ καὶ ἡ ἀσπάλαξ ὑπὸ τὸ δέρμα ἔχουσα ὀφθαλμούς· ὥστ' εἰ μή τι

31 (τὰ αἰσθητὰ W) ὄντα ἀλλήλων τῷ γένει **a** *Alex*^{c} *90, 35 Sil* ^{c}*178, 16* : ἀλλήλων ὄντα τῷ γένει **b**—X *Ph*^{l} : ὄντα τῷ γένει ἀλλήλων X **32** τὸ **a** SVWX *Alex*^{c} *90, 36* : om CUy *Sil* ^{c}*178, 11* **34** (ὁ ante καὶ$_1$ add y) (καὶ$_2$ om y) χρόας **o**—EW *Si*^{c} *178, 25* : χροιας [eras ι] E, χροιᾶς W

425 a 1 (γὰρ] δὲ V) **2** (ὁ suppl X^{2}) τοῦ δι' CWy ins E^{3} *Si*^{c} *179, 10. 11* : τοῦ L : om ESUVX *Ph*^{p} *452, 21 cf Prisc 19, 21* [sed fort coniungendum τὸ ἕτερον ἀμφοῖν] **3** (αἰσθητηρίων μόνων W) **6** (οὐδὲ X) γῆ δὲ **a** CWXy *Sil Ph*^{c} *453, 1 Th 80, 21* : ἡ δὲ γῆ SUV **7** ἢ οὐθενὸς ἢ LCXy *Sil Ph*^{c} *453, 1 So 106, 39* : οὐθενὸς ἢ W, E [ins ἢ ante οὐθ. E^{1} ut v] : om SUV ἰδίως διὸ W [διὸ fort postea ins], *Sil* : ἰδίως LSUVX, E [sed corr in διὸ E^{x}] : διὸ Cy λείποιτ' **o**—E *Sil* ^{c}*180, 17* : λίποιτ' E [corr in -εί- E^{3}] **9** (ζώων W) (ante πᾶσαι ins οὐ X^{x}) (οὖν ἄρα y) αἱ **o**—WX *Sil* ^{c}*180, 33* : om W, [fort eras] X **10** (πεπληρωμένων S) γὰρ καὶ **a** CWy *Sil* : δὲ καὶ SUV : δὲ X **11** ἀσπάλαξ E [ἁ eras, ἡ in ras E^{2}] : ἡ ἀσπάλαξ LUWX *Sil* ^{p}*181, 21 Ph*^{p} *453, 6 Th 81, 8 So 106, 5* : ἡ σπάλαξ CSV : ἡ πάλαξ y (ἔχουσα ante ὑπὸ *Sil*) ὀφθαλμούς **a** SUVX *Th 81, 8 So 106, 6* : τοὺς ὀφθαλμοὺς CWy *Sil*, τοὺς ins E^{2}

ἕτερόν ἐστι σῶμα, καὶ πάθος ὃ μηθενός ἐστι τῶν ἐνταῦθα σωμάτων, οὐδεμία ἂν ἐκλείποι αἴσθησις.

ἀλλὰ μὴν οὐδὲ τῶν κοινῶν οἷόν τ' εἶναι αἰσθητήριόν τι ἴδιον, ὧν ἑκάστῃ αἰσθήσει αἰσθανόμεθα κατὰ συμβεβηκός, οἷον κινήσεως, στάσεως, σχήματος, μεγέθους, ἀριθμοῦ, ἑνός· ταῦτα γὰρ πάντα κινήσει αἰσθανόμεθα, οἷον μέγεθος κινήσει· ὥστε καὶ σχῆμα· μέγεθος γάρ τι τὸ σχῆμα· τὸ δ' ἠρεμοῦν τῷ μὴ κινεῖσθαι· ὁ δ' ἀριθμὸς τῇ ἀποφάσει τοῦ συνεχοῦς, καὶ τοῖς ἰδίοις· ἑκάστη γὰρ ἓν αἰσθάνεται αἴσθησις· ὥστε δῆλον ὅτι ἀδύνατον ὁτουοῦν ἰδίαν αἴσθησιν εἶναι τούτων, οἷον κινήσεως· οὕτω γὰρ ἔσται ὥσπερ νῦν τῇ ὄψει τὸ γλυκὺ αἰσθανόμεθα, τοῦτο δ' ὅτι ἀμφοῖν ἔχοντες τυγχάνομεν αἴσθησιν, ᾗ καὶ ὅταν συμπέσωσιν ἅμα γνωρίζομεν (εἰ δὲ μή, οὐδαμῶς ἂν ἀλλ' ἢ κατὰ συμβεβηκὸς ᾐσθανόμεθα, οἷον τὸν Κλέωνος υἱὸν οὐχ ὅτι Κλέωνος υἱός, ἀλλ' ὅτι λευκός· τούτῳ δὲ συμβέβηκεν υἱῷ

13 οὐδεμία ἂν ἐκλείποι CSUV *Alex*^{l} *90, 1* *Si*^{l} *Ph*^{l} *Th 81, 14* : οὐδεμίαν ἐκλείποι X : οὐδεμίαν λείποι E : οὐδεμία ἂν ἐλλείποι sscr Wy E^{2} : οὐδεμία ἂν λείποιτο L (αἴσθησιν X) **14** τι ἴδιον **o**—y *Ph*^{c} *457, 7t* : om y : ἴδιον *Si*^{l}*A* *Ph*^{l} : τὸ ἴδιον *Ph*^{c} *457, 7 D* ἑκάστῃ **o**—E *Si*^{l} ^{c}*183, 1* *Ph*^{c} *457, 8 . 19* : καὶ ἑκάστῃ E (ὧ V, corr in ὧν V^{2}) **16** (ἑνός eras V) **17** (κινήσει μέγεθος U) σχῆμα **a** SUVX: τὸ σχῆμα CWy *Si*^{l} **18** τι τὸ **a** SUVX *Ph*^{c} *458, 23 . 29* *cf So 107, 13* : τι καὶ τὸ CWy *Si*^{l} **20** (ἀδύνατον δηλονότι y) **21** (τούτων ante ἰδίαν W) (οὔτε S) **23** (ἔχομεν τυγχάνοντες X) (ἢ SX) καὶ E: om **o**—E *Si*^{l} *Ph*^{l} **24** ἅμα γνωρίζομεν E *cf Si*^{p} *184, 25 . 30* : ἀναγνωρίζομεν L : γνωρίζομεν **b** *Ph*^{l} *cf Si*^{p} *184, 26* (μηδαμῶς W) **25** ᾐσθανόμεθα SUVX *Si*^{l} : αἰσθανοίμεθα W, [eras ut v :] C : αἰσθανόμεθα **a** y *Ph*^{c} *460, 6* **26** κλέωνος υἱός **a** y *Ph*^{l} : κλέωνος γὰρ υἱὸς [eras ut v γὰρ X] **b**—y, ins γὰρ E^{2} ἄλλο τὸ λευκόν UX [in ἀλλ' ὅτι λευκὸς corr X^{2}]: ἀλλ' ὅτι λευκὸν S τούτῳ CSUWy, corr E^{3}: τοῦτο **a** VX *cf Ph*^{p} *460, 13*

Κλέωνος εἶναι)· τῶν δὲ κοινῶν ἤδη ἔχομεν αἴσθησιν κοινήν, οὐ κατὰ συμβεβηκός· οὐκ ἄρ' ἐστὶν ἰδία· οὐδαμῶς γὰρ ἂν ᾐσθανόμεθα ἀλλ' ἢ οὕτως ὥσπερ εἴρηται [τὸν Κλέωνος υἱὸν ἡμᾶς ὁρᾶν]. τὰ δ' ἀλλήλων ἴδια κατὰ συμβεβηκὸς αἰσθάνονται αἱ αἰσθήσεις, οὐχ ᾗ αὐταί, ἀλλ' ᾗ μία, ὅταν
425^{b} ἅμα γένηται ἡ αἴσθησις ἐπὶ τοῦ αὐτοῦ, οἷον χολὴν ὅτι πικρὰ καὶ ξανθή· οὐ γὰρ δὴ ἑτέρας γε τὸ εἰπεῖν ὅτι ἄμφω ἕν· διὸ καὶ ἀπατᾶται, καὶ ἐὰν ᾖ ξανθόν, χολὴν οἴεται εἶναι. ζητήσειε δ' ἄν τις τίνος ἕνεκα πλείους ἔχομεν αἰσθήσεις, ἀλλ' οὐ μίαν μόνην. ἢ ὅπως ἧττον λανθάνῃ τὰ ἀκολουθοῦντα καὶ κοινά, οἷον κίνησις καὶ μέγεθος καὶ ἀριθμός· εἰ γὰρ ἦν ἡ ὄψις μόνη, καὶ αὕτη λευκοῦ, ἐλάνθανεν ἂν μᾶλλον κἂν ἐδόκει ταὐτὸν εἶναι πάντα διὰ τὸ ἀκολουθεῖν ἀλλήλοις ἅμα χρῶμα καὶ μέγεθος. νῦν δ' ἐπεὶ καὶ ἐν ἑτέρῳ αἰσθητῷ τὰ κοινὰ ὑπάρχει, δῆλον ποιεῖ ὅτι ἄλλο τι ἕκαστον αὐτῶν.

27 (τῶ δὲ κοινῶ V) ἤδη ante ἔχομεν **a** y *Si*^{l} : post ἔχομεν CUW *Ph*^{l} : post αἴσθησιν SVX **28** (ἄρ' om C) **29** ἢ **b** *Si*^{c} *185, 22 Ph*^{l} ^{p}*460, 26* : om **a**, ins E^{x} (τοῦ S) τὸν ... **30** ὁρᾶν del To (ἡμᾶς υἱὸν U) **31** ᾗ$_{1}$ **b** *Si*^{l} ^{c}*186, 5 Ph*^{l} *So 107, 29* : om **a**, ins E^{3} αὐταί CVW *Si*^{l} ^{c}*186, 5 Ph*^{l} *D cf Prisc Lyd 22, 4* : αὗται Xy *cf Ph*^{p} *461, 6t So 107, 29* : αὑταί *Ph*^{p} *461, 6D* : αἱ αὐταί **a** SU

425^{b} **1** γένηται **a** CWXy *Si*^{c} *186, 11 Ph*^{l} : om SUV χολὴν ὅτι **a** [eras ν E] : ὅτι χολὴ **b** : χολῆς ὅτε *Si*^{c} *186, 12Aa* **2** (δὴ] δι' S) **3** (διὸ ante καὶ$_{2}$ add E) **4** τίνος **o**—SU *Si*^{l} *Ph*^{c} *461, 21* : διὰ τίνος SU πλείους **a** SUVX *Si*^{l} ^{p}*186, 28 So 108, 22* : πλείονας CWy *Ph*^{c} *461, 21* **5** ἀλλ' οὐ μίαν μόνην **a** CWy *Si*^{l} *cf* ^{p}*186, 31* : ἀλλ' οὐ μίαν μόνον SUVX : ἢ μίαν *Ph*^{c} *461, 21* ἧττον **a** U *Si*^{l} ^{c}*187, 9 So 108, 23* : ᾗ S : μὴ CVWXy **7** ἡ **a** y *Si*^{l} : om **b**—y μόνη **b**, ins E^{2}, *Si*^{l} *Ph*^{l} : μόνον L : om E αὕτη **a** SUy *Si*^{c} *187, 9* : αὐτὴ CVWX *Ph*^{l} : «ἡ αὐτὴ» *So 108, 25* (ἐλανθανεν κ[αν ?] E, corr in ἐλάνθανε δ' ἂν E^{3}) **8** κἂν **b** *Ph*^{l} : καὶ **a** *So 108, 25* ταὐτὸν CWXy *Si*^{p} *187, 7 Ph*^{l} : ταυτὰ **a** V : τοῦτο SU **9** καὶ$_{2}$ om UX ἐν **b** : om **a** [ins E^{2}] *cf Ph*^{p} *462, 21 So 108, 27* **10** (τι] τε y)

2 Ἐπεὶ δ' αἰσθανόμεθα ὅτι ὁρῶμεν καὶ ἀκούομεν, ἀνάγκη ἢ τῇ ὄψει αἰσθάνεσθαι ὅτι ὁρᾷ, ἢ ἑτέρᾳ. ἀλλ' ἡ αὐτὴ ἔσται τῆς ὄψεως καὶ τοῦ ὑποκειμένου χρώματος. ὥστε ἢ δύο τοῦ αὐτοῦ ἔσονται ἢ αὐτὴ αὑτῆς. ἔτι δ' εἰ καὶ ἑτέρα εἴη ἡ τῆς ὄψεως αἴσθησις, ἢ εἰς ἄπειρον εἶσιν ἢ αὐτή τις ἔσται αὑτῆς. ὥστ' ἐπὶ τῆς πρώτης τοῦτο ποιητέον. ἔχει δ' ἀπορίαν· εἰ γὰρ τὸ τῇ ὄψει αἰσθάνεσθαί ἐστιν ὁρᾶν, ὁρᾶται δὲ χρῶμα ἢ τὸ ἔχον, εἰ ὄψεταί τις τὸ ὁρῶν, καὶ χρῶμα ἕξει τὸ ὁρῶν πρῶτον. φανερὸν τοίνυν ὅτι οὐχ ἓν τὸ τῇ ὄψει αἰσθάνεσθαι· καὶ γὰρ ὅταν μὴ ὁρῶμεν, τῇ ὄψει κρίνομεν καὶ τὸ σκότος καὶ τὸ φῶς, ἀλλ' οὐχ ὡσαύτως. ἔτι δὲ καὶ το ὁρῶν ἔστιν ὡς κεχρωμάτισται· τὸ γὰρ αἰσθητήριον δεκτικὸν τοῦ αἰσθητοῦ ἄνευ τῆς ὕλης ἕκαστον. διὸ καὶ ἀπελθόντων τῶν αἰσθητῶν ἔνεισιν αἱ αἰσθήσεις καὶ φαντασίαι ἐν τοῖς αἰσθητηρίοις.

ἡ δὲ τοῦ αἰσθητοῦ ἐνέργεια καὶ τῆς αἰσθήσεως ἡ αὐτὴ μέν ἐστι καὶ μία, τὸ δ' εἶναι οὐ τὸ αὐτὸ αὐταῖς· λέγω δ' οἷον ὁ ψόφος ὁ κατ' ἐνέργειαν καὶ ἡ ἀκοὴ ἡ κατ' ἐνέργειαν· ἔστι γὰρ ἀκοὴν ἔχοντα

12 ἐπεὶ δ' **o** *Si*^{l} *Ph 467, 13* : ἐπεὶ δὴ *Ph*^{l} : ἐπεὶ *Alex ἀπ*^{l} *91, 26* : «ἐπειδὴ δὲ» *Th 83, 11* : «ἐπεὶ γὰρ» *So 109, 6*   **13** ἢ τῇ **o** *Si*^{l} *Ph*^{l} *Th 83, 12 So 109, 13* : ἤτοι *Alex ἀπ*^{l} *91, 26*   (ὅτι] εἴ τι *Alex*^{l} *91, 27 BS*^{2}*a*)   (ἑτέρῳ y)   **15** (δ' εἰ] δὴ L)   (καὶ ante εἰ E : om y)   ἡ E : om **o**—E   **16** ἢ$_{1}$ om UX, ins U^{2} εἶσιν **a** CSUVy : ἄνεισιν WX, ins ἀν- E^{x}U^{2}V^{2} : «πρόεισιν» *Th 83, 18*   (ἐστιν X)   αὐτῆς **a** Xy   **18** (τὸ om W)   (ὁρᾶται eras X, corr in ἔστι X^{2})   (δὲ τὸ χρῶμα W, τὸ ins U^{x})   **19** (ὁρᾶν X)   (καὶ τὸ χρ. W)   **21** (σκότος ἢ καὶ Xy, [ἢ] S)   **22** (ὡς] ὡς καὶ X)   κέχρωσται *Ph*^{l}*D*   **23** (αἰσθητηρίων S, V [corr in αἰσθητῶν V^{2}])   **25** αἱ **a** Cy : om SUVWX *Si*^{c} *190, 23 Th 83, 28 So 110, 8*   (αἴσθησις S)   (αἱ ante φαντ. ins C^{x})   (ἐν om W)   **27** οὐ τὸ αὐτὸ αὐταῖς **a** *Si*^{l} [ταὐτὸν] : αὐταῖς οὐ ταὐτὸν **b**—X *Ph*^{l} *Th 83, 36* [τὸ αὐτὸ], *So 111, 15* [ταὐτό] : αὐτοῦ οὐ ταὐτὸν X   ὁ$_{1}$ **a** W *So 111, 16* : om **b**—W *Si*^{l} **28** ἡ$_{1}$ **a** *So 111, 16* : om **b**

μὴ ἀκούειν, καὶ τὸ ἔχον ψόφον οὐκ ἀεὶ ψοφεῖ. ὅταν δ' ἐνεργῇ τὸ δυνάμενον ἀκούειν καὶ ψοφῇ τὸ δυνάμενον ψοφεῖν, τότε ἡ κατ' ἐνέργειαν ἀκοὴ ἅμα γίνεται καὶ ὁ κατ' ἐνέργειαν ψό-
426 a φος, ὧν εἴπειεν ἄν τις τὸ μὲν εἶναι ἄκουσιν τὸ δὲ ψόφησιν. εἰ δή ἐστιν ἡ κίνησις καὶ ἡ ποίησις καὶ τὸ πάθος ἐν τῷ ποιουμένῳ, ἀνάγκη καὶ τὸν ψόφον καὶ τὴν ἀκοὴν τὴν κατ' ἐνέργειαν ἐν τῇ κατὰ δύναμιν εἶναι· ἡ γὰρ τοῦ ποιητικοῦ καὶ κινητικοῦ ἐνέργεια ἐν τῷ πάσχοντι ἐγγίνεται· διὸ οὐκ ἀνάγκη τὸ κινοῦν κινεῖσθαι. ἡ μὲν οὖν τοῦ ψοφητικοῦ ἐνέργειά ἐστι ψόφος ἢ ψόφησις, ἡ δὲ τοῦ ἀκουστικοῦ ἀκοὴ ἢ ἄκουσις· διττὸν γὰρ ἡ ἀκοή, καὶ διττὸν ὁ ψόφος. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων καὶ αἰσθητῶν. ὥσπερ γὰρ ἡ ποίησις καὶ ἡ πάθησις ἐν τῷ πάσχοντι ἀλλ' οὐκ ἐν τῷ ποιοῦντι, οὕτω καὶ ἡ τοῦ αἰσθητοῦ ἐνέργεια καὶ ἡ τοῦ αἰσθητικοῦ ἐν τῷ αἰσθητικῷ. ἀλλ' ἐπ' ἐνίων μὲν ὠνόμασται, οἷον ἡ ψόφησις καὶ ἡ ἄκουσις, ἐπὶ δ' ἐνίων ἀνώνυμον θάτερον· ὅρασις γὰρ λέγεται ἡ τῆς ὄψεως ἐνέργεια, ἡ δὲ τοῦ χρώματος ἀνώνυμος, καὶ γεῦσις ἡ τοῦ γευστικοῦ, ἡ δὲ τοῦ χυμοῦ ἀνώνυμος. ἐπεὶ δὲ μία μέν ἐστιν

29 (ψόφον ἔχον W) (ψοφεῖν W) (ἐνεργει E) **30** (ψοφει E) (τότε om E, ins E²) **31** (ἡ] καὶ ἡ C) (ἀκοὴ . . . ἐνέργειαν om E, suppl mg E²)

426 a **1** ὧν **a** CX *Sil* *So 111, 21:* ὥστ' Wy: ὥστε καὶ SUV εἴπειεν C: εἴποιεν **a** y: εἴποι W *Sil* *So 111, 21:* φήσειεν SUVX **2** (δὲ W) (ἡ₁ om W) **3** (ἀνάγκη] ἄρα y) **4** (ἐν τῷ y: ἕν τι V) (καὶ κινητικοῦ om y) **5** (γίνεται W) **6** ἐστι post ἐνέργεια SUVX: ἐστιν ante ἐνέργεια **a**: post **7** ψόφησις CWy **7** (ψόφωσις y) (ἢ₂ om Sy) **8** διττὸν **o**—C *Sil* *So 111, 33:* διττὸς C *Ph^c 474, 22* **9** ὥσπερ γὰρ SUVX: ὥσπερ γὰρ καὶ **a**: καὶ ὥσπερ CWy **10** (οὐκ ἀν τω E) **11** ἐνέργεια καὶ ἡ τοῦ αἰσθητικοῦ **a** SVX *Ph^c 474, 23:* om CUWy **12** μὲν **a** SV *So 112, 3:* μὲν καὶ CUWXy E^x *Sil* *Ph^c 474, 31* (ἐπὶ₂ ex ἐπεὶ corr E^x) **13** ἐνίων δ' L *Th 84, 16* *So 112, 4* (γὰρ] δὲ S) **15** (γευστικοῦ eras ικ E)

ἐνέργεια ἡ τοῦ αἰσθητοῦ καὶ τοῦ αἰσθητικοῦ, τὸ δ' εἶναι ἕτερον, ἀνάγκη ἅμα φθείρεσθαι καὶ σῴζεσθαι τὴν οὕτω λεγομένην ἀκοὴν καὶ ψόφον, καὶ χυμὸν δὴ καὶ γεῦσιν καὶ τὰ ἄλλα ὁμοίως· τὰ δὲ κατὰ δύναμιν λεγόμενα οὐκ ἀνάγκη· ἀλλ' οἱ πρότερον φυσιολόγοι τοῦτο οὐ καλῶς ἔλεγον, οὐθὲν οἰόμενοι οὔτε λευκὸν οὔτε μέλαν εἶναι ἄνευ ὄψεως, οὐδὲ χυμὸν ἄνευ γεύσεως. τῇ μὲν γὰρ ἔλεγον ὀρθῶς, τῇ δ' οὐκ ὀρθῶς· διχῶς γὰρ λεγομένης τῆς αἰσθήσεως καὶ τοῦ αἰσθητοῦ τῶν μὲν κατὰ δύναμιν τῶν δὲ κατ' ἐνέργειαν, ἐπὶ τούτων μὲν συμβαίνει τὸ λεχθέν, ἐπὶ δὲ τῶν ἑτέρων οὐ συμβαίνει. ἀλλ' ἐκεῖνοι ἁπλῶς ἔλεγον περὶ τῶν λεγομένων οὐχ ἁπλῶς.

εἰ δὴ συμφωνία φωνή τίς ἐστιν, ἡ δὲ φωνὴ καὶ ἀκοὴ ἔστιν ὡς ἕν, [καὶ ἔστιν ὡς οὐχ ἓν τὸ αὐτὸ] λόγος δ' ἡ συμφωνία, ἀνάγκη καὶ τὴν ἀκοὴν λόγον τινὰ εἶναι. καὶ διὰ τοῦτο καὶ φθείρει ἕκαστον ὑπερβάλλον, καὶ τὸ ὀξὺ καὶ τὸ βαρύ, τὴν ἀκοήν· ὁμοίως δὲ καὶ ἐν χυμοῖς τὴν γεῦσιν, καὶ ἐν χρώμασι τὴν ὄψιν τὸ σφόδρα λαμπρὸν ἢ ζο- 426 b

16 ἐνέργεια ἡ LSUX *Ph*[l] : ἡ ἐνέργεια ἡ E: ἐνέργεια CVWy *So 112, 14 B* [ἡ ἐνέργεια *AC*] (καὶ ἡ τοῦ E) **17** ἅμα φθείρεσθαι EUVWX *Si*[p] *193, 24* *Ph*[l p] *475, 12* *So 112, 15* : φθείρεσθαι ἅμα L : ἄρα φθείρεσθαι CSy **19** (δὲ] γὰρ S) **21** (εἶναι οὔτε μέλαν X) **22** (γὰρ ἔλεγον] λέγοντες y) **23** (αἰσθητικοῦ V) **24** (τὸ δὲ S) ἐπὶ LUWX *Si*[p] *193, 30* *So 112, 25* : περὶ ECSVy **25** (μὲν] δὲ C : om y) τὸ ... συμβαίνει om SUV [suppl mg U¹, mg V²] (τῶν om X) **27** δὴ **o**—L, *cf So 112, 32*, coni pro δ' ἡ ut v *Plutarchus ap Si 193, 32* *cf Ph*[p] *475, 29* : δ' ἡ *Si*[l] *Ph*[l] *D* : δὴ ἡ L **28** ἀκοὴ **o**—EW *Ph*[c] *476, 10* : ἡ ἀκοὴ EW, ins ἡ U² ἓν₁ **o**—E *Ph*[c] *476, 11* *So 112, 31* : ἕν ἐστι E καὶ ... αὐτὸ del To τὸ αὐτό **a** *So 112, 31* : ἢ οὐ τὸ αὐτὸ **b**—V : οὐδὲ τὸ αὐτὸ V : om ut v *Ph*[c] *476, 11* *cf* [l] *476, 13* **30** καὶ₂ **o**—LW *Si*[c] *195, 3* *So 112, 34* : om LW *Ph*[l] (φθείρεσθαι S : φθείρει ὡς W) **31** ὁμοίως δὲ **a** *So 112, 37* : om **b**

426 b **1** (λάμπον C) ἢ ζ. **a** *So 112, 37* : ἢ τὸ ζ. **b**

φερόν, καὶ ἐν ὀσφρήσει ἡ ἰσχυρὰ ὀσμὴ καὶ γλυκεῖα καὶ πικρά, ὡς λόγου τινὸς ὄντος τῆς αἰσθήσεως. διὸ καὶ ἡδέα μέν, ὅταν εἰλικρινῆ καὶ ἄμεικτα ὄντα ἄγηται εἰς τὸν λόγον, οἷον τὸ ὀξὺ ἢ γλυκὺ ἢ ἁλμυρόν (ἡδέα γὰρ τότε)· ὅλως δὲ μᾶλλον τὸ μεικτὸν συμφωνία ἢ τὸ ὀξὺ ἢ βαρύ. [ἁφῇ δὲ τὸ θερμαντὸν ἢ ψυκτόν·] ἡ δ' αἴσθησις ὁ λόγος· ὑπερβάλλοντα δὲ λυπεῖ ἢ φθείρει.

8 ἑκάστη μὲν οὖν αἴσθησις τοῦ ὑποκειμένου αἰσθητοῦ ἐστίν, ὑπάρχουσα ἐν τῷ αἰσθητηρίῳ ᾗ αἰσθητήριον, καὶ κρίνει τὰς τοῦ ὑποκειμένου αἰσθητοῦ διαφοράς, οἷον λευκὸν μὲν καὶ μέλαν ὄψις, γλυκὺ δὲ καὶ πικρὸν γεῦσις. ὁμοίως δ' ἔχει τοῦτο καὶ ἐπὶ τῶν ἄλλων. ἐπεὶ δὲ καὶ τὸ λευκὸν καὶ τὸ γλυκὺ καὶ ἕκαστον τῶν αἰσθητῶν πρὸς ἕκαστον κρίνομεν, τινὶ καὶ αἰσθανόμεθα ὅτι διαφέρει· ἀνάγκη δὴ αἰσθήσει· αἰσθητὰ γάρ ἐστιν. ᾗ καὶ δῆλον ὅτι ἡ σὰρξ οὐκ ἔστι τὸ ἔσχατον αἰσθητήριον· ἀνάγκη γὰρ ἦν ἁπτόμενον αὐτοῦ κρίνειν τὸ κρῖνον. οὔτε δὴ κεχωρισμένοις ἐνδέχεται κρίνειν ὅτι

3 πικρὰ **b** *Ph^l So 112, 38* : λιπαρὰ **a** *cf Ph* ^{p}*476, 30* διὸ καὶ **a** CWy *Si^l Ph^l* : καὶ SUX : om V [sed eras 2—3 litt] **4** (εἰλικρινῆ καὶ om X) ἄμικτα ὄντα **b** *Ph^l cf Si^p 195, 15* : ἀμιγῆ ὄντα *Si^l cf So 113, 11* : ἀμιγῆ ᾖ ὄντα L : ἀμιγη η E [eras $η_2$] ἄγηται post ὄντα *Si^l* : ἄγεται post ὄντα **a** : ἄγηται post ὅταν **b** : ἀγάγηται post ὅταν *Ph^l D* **5** (ὅλως om y) **6** (μᾶλλον om X) ἢ βαρὺ **b** : ἢ τὸ βαρὺ E : καὶ τὸ βαρὺ L ἁφῇ ... ψυκτόν del Dittenberger ἁφῇ LVXy *Ph^l* ^{p}*477, 12 cf Si^p 195, 18* : ἁφὴ CSUWE^3 **7** (θερμαντικὸν X) ὁ **a** CWX *Si^l* : om SUVy **8** (ἢ λυπεῖ ἢ *Si^l*) λυπεῖ] λύει fort *Prisc Lyd 22, 27* **12** (τούτω X) ἐπεὶ δὲ **o** *Ph^l* : ἐπεὶ δὴ *Si^l A* $καὶ_2$ **a** [exp E^2], SX : om CUVWy *Si^l Ph^l* **13** (αἰσθητηρίων *Ph^l D*) **14** τινὶ VE^3 *Ph^l* : τινι ECWy *Si^l So 113, 27* : τίνι SUX *cf Th 85, 2* : τινὰ L **15** (ᾗ om X) ᾗ **o** *Ph^l* : καὶ ἡ *Si^l A* (οὐκέτι W) **16** (ἔσχατόν ἐστιν αἰσθ. W) (γὰρ ἂν ἦν W) αὑτοῦ scripsi : αὐτοῦ **o** **17** κεχωρισμένοις **a** CSUV *Si^l cf Th 85, 13* κεχωρισμένως WXy ($κρίνειν_2$] κρίνειν τὸ κρῖνον y)

ἕτερον τὸ γλυκὺ τοῦ λευκοῦ, ἀλλὰ δεῖ ἑνί τινι ἄμφω δῆλα εἶναι. οὕτω μὲν γὰρ κἂν εἰ τοῦ μὲν ἐγὼ τοῦ δὲ σὺ αἴσθοιο, δῆλον ἂν εἴη ὅτι ἕτερα ἀλλήλων. δεῖ δὲ τὸ ἓν λέγειν ὅτι ἕτερον· [ἕτερον γὰρ τὸ γλυκὺ τοῦ λευκοῦ. λέγει ἄρα τὸ αὐτό. ὥστε ὡς λέγει, οὕτω καὶ νοεῖ καὶ αἰσθάνεται. ὅτι μὲν οὖν οὐχ οἷόν τε κεχωρισμένοις κρίνειν τὰ κεχωρισμένα, δῆλον· ὅτι δ' οὐδ' ἐν κεχωρισμένῳ χρόνῳ, ἐντεῦθεν. ὥσπερ γὰρ τὸ αὐτὸ λέγει ὅτι ἕτερον τὸ ἀγαθὸν καὶ τὸ κακόν, οὕτω καὶ ὅτε θάτερον λέγει ὅτι ἕτερον καὶ θάτερον, οὐ κατὰ συμβεβηκὸς τὸ ὅτε· λέγω δ', οἷον νῦν λέγω ὅτι ἕτερον, οὐ μέντοι ὅτι νῦν ἕτερον· ἀλλ' οὕτω λέγει, καὶ νῦν, καὶ ὅτι νῦν· ἅμα ἄρα. ὥστε ἀχώριστον καὶ ἐν ἀχωρίστῳ χρόνῳ. ἀλλὰ μὴν ἀδύνατον ἅμα τὰς ἐναντίας κινήσεις κινεῖσθαι τὸ αὐτὸ ᾗ ἀδιαίρετον καὶ ἐν ἀδιαιρέτῳ χρόνῳ. εἰ γὰρ γλυκύ, ὡδὶ κινεῖ τὴν αἴσθησιν ἢ τὴν νόησιν, τὸ δὲ πικρὸν ἐναντίως, καὶ τὸ λευκὸν ἑτέρως. 427ª
ἆρ' οὖν ἅμα μὲν καὶ ἀριθμῷ ἀδιαίρετον καὶ ἀχώριστον τὸ

18 (γλυκὺ καὶ y) (δῆλα om X) **19** μὲν₁ **o**—Cy *Th 85, 15* : om Cy γὰρ **b** *Th 85, 15* : γὰρ ἔχει **a** (κἂν] ἂν κἂν y) **20** (δὲ] sscr ἄρα W) (λέγειν τὸ ἓν y) **21** ἕτερον₂ . . . αὐτό delevi (λέγεται y) **22** καὶ₁ **a** UWXy *Ph^c 483, 15* : om CSV νοεῖ **o**—UX *Ph^c 483, 15* : φρονεῖ UX (οὖν om C) **23** (κεχωρισμένως W : κεχωρισμένων X) **24** (οὐδὲν LS) (ἐν] ενι E) (κεχωρισμένῳ ἐστὶ χρόνῳ S) **25** (ὅτι δι' ἕτερον S, [eras δι] C) (τὸ ἀγαθὸν . . . **26** ἕτερον om V, suppl mg V²) τὸ₂ CSUWX : om **a** yV² *So 114, 4* (ὅτε] ὅτι S) **26** ἕτερον καὶ **a** CSUVW *So 114, 5* : ἕτερον τότε καὶ XyU² *Th 85, 24* (καὶ θάτερον καὶ W) **27** (οἷον καὶ νῦν S) **28** (οὕτω] αὐτῷ L) (λέγω W [sscr ει W¹] : λέγει in λέγω corr E³) καὶ₁ exp E², puncta sustulit E³ : om C : ὅτι X : ὁ y **30** (ἣ X) (διαίρετον E, ἀ sscr E²) **31** (γάρ] μὲν γάρ ἐστιν y) γλυκύ **a** SUVXy : τὸ γλυκύ CW, ins τὸ E²

427ª **1** ἢ [eras E] **a** UVXy : καὶ CSW, in ras E³ **2** (καὶ om W) ἀριθμῷ **o**—E *Alex¹ 94, 12 Si¹ Ph¹* : ἀριθμῷ ἐν E : ἐν ἀριθμῷ E³ καὶ ἀχώριστον τὸ κρῖνον [sed eras E] **o**—Cy *Alex¹ 94, 12 Si¹* : καὶ ἀχώριστον C : καὶ χρόνῳ ἀχώριστον y, in ras E² *Ph^c 484, 10* : καὶ χρόνῳ ἀχώριστον τὸ κρῖνον *Ph¹*

κρῖνον, τῷ εἶναι δὲ κεχωρισμένον; ἔστι δή πως ὡς τὸ διαιρετὸν τῶν διῃρημένων αἰσθάνεται, ἔστι δ' ὡς ᾗ ἀδιαίρετον· τῷ εἶναι μὲν γὰρ διαιρετόν, τόπῳ δὲ καὶ ἀριθμῷ ἀδιαίρετον. ἢ οὐχ οἷόν τε; δυνάμει μὲν γὰρ τὸ αὐτὸ καὶ ἀδιαίρετον τἀναντία, τῷ δ' εἶναι οὔ, ἀλλὰ τῷ ἐνεργεῖσθαι διαιρετόν, καὶ οὐχ οἷόν τε ἅμα λευκὸν καὶ μέλαν εἶναι, ὥστ' οὐδὲ τὰ εἴδη πάσχειν αὐτῶν, εἰ τοιοῦτον ἡ αἴσθησις καὶ ἡ νόησις· ἀλλ' ὥσπερ ἣν καλοῦσί τινες στιγμήν, ᾗ μία ἢ δύο, ταύτῃ καὶ διαιρετή. ᾗ μὲν οὖν ἀδιαίρετον, ἓν τὸ κρῖνόν ἐστι καὶ ἅμα. ᾗ δὲ διαιρετὸν ὑπάρχει, δὶς τῷ αὐτῷ χρῆται σημείῳ ἅμα· ᾗ μὲν οὖν ⟨ὡς⟩ δυσὶ χρῆται τῷ πέρατι, δύο κρίνει καὶ κεχωρισμένα ἔστιν ὡς κεχωρισμένῳ· ᾗ δ' ἕν, ἑνὶ καὶ ἅμα. περὶ μὲν

3 (εἶναι] ἀριθμῷ y)   δή] δὲ S *Alex[l] 94, 13*: μὲν δὴ y   (καὶ χωρισμένον E, corr κεχωρισμένον E[3])   **4** ὡς ᾗ **a** SUVXy: ᾗ W: ὡς τὸ [corr ex ᾗ] X[x]: ὡς *Alex[l] 94, 14*: om C [ᾗ ins C[x]]   (διαιρετόν E, sscr ἀ E[x])   (τὸ C)   (τῶ τῶ εἶναι μὲν δ. y)   **6** καὶ ἀδιαίρετον **a** SUV *Alex[l] 94, 16*: διαιρετὸν καὶ ἀδιαίρετον Wy U[2] *Si[l] cf Th 86, 12*: ἀδιαίρετον καὶ διῃρημένον C: διῃρήμενον καὶ ἀδιαίρετον X   τἀναντία **b**—y *Alex[l] 94, 16 Si[l] Ph[p] 484, 19*: om y: καὶ τἀναντία **a** [post καὶ add διῃρημένον mg E[2]]   **7** (ἀλλὰ τὸ S)   (διενεργεῖσθαι V: εἶναι L)   (καὶ om S)   **9** (εἰ] ᾗ εἰ y)   **10** ᾗ μία **o**: ἡ μία *Alex[c] 96, 10*: ἢ μίαν *Alex[l] 94, 20* ἣ CW, U[2] in ras *Alex[l] 94, 20*: ἡ E [spir. et accent. add, αἱ sscr E[3]] γρ. mg S[1]: αἱ SV [sscr ᾗ vel ἢ], y *Alex[c] 96, 10 Si[l] A*: καὶ L *Ph[l]*: οὐ X   **11** καὶ₁ **o**—L *Alex[l] 94, 20 [c]96, 10 Ph[l]*: om L *Si[l] A*   ἀδιαίρετον **a** WXV[2] *So 114, 35*: ἀδιαίρετος CSUV, [ς in ras] E[2] *Alex[l] 94, 20*: ἀδιαίρετα [sscr -ος] y   (καὶ ἅμα om y)   **12** ὑπάρχει **a** SUVWX *Alex ἀπ[l] 94, 21 Si[c] 201, 10 So 114, 36 A*: οὐχ ἓν ὑπάρχει Cy [sscr οὐχ ἓν ἡ γραμμὴ W[x]] *cf So 114, 36 BC*   δὶς **a** SUVX *Alex ἀπ[l] 94, 21 Si[c] 201, 10 So 114, 36 AB* [διὸ *C*]: δὶς γὰρ CW, γὰρ ins E[2]: διὸ γὰρ y   (σημείω χρῆται X)   (σημείωμα E, corr in σημείω ἅμα E[2])   **13** ⟨ὡς⟩ add Tr (καὶ τὰ κεχ. C: ins τὰ E[2])   **14** (ἐστιν ὥστε καὶ WX: ἔστιν ὡς eras U, in ras ὥστε καὶ U[2])   κεχωρισμένω [ex καιχωρισμενω corr E[x]] **a** C: τῷ κεχωρισμένῳ *Alex ἀπ[l] 94, 23*: κεχωρισμένως Uy *Si[l] A* [κεχωρισμένοις

οὖν τῆς ἀρχῆς ᾗ φαμὲν τὸ ζῷον αἰσθητικὸν εἶναι, διωρίσθω τὸν τρόπον τοῦτον.

3 Ἐπεὶ δὲ δύο διαφοραῖς ὁρίζονται μάλιστα τὴν ψυχήν, κινήσει τε τῇ κατὰ τόπον καὶ τῷ νοεῖν καὶ τῷ κρίνειν καὶ αἰσθάνεσθαι, δοκεῖ δὲ καὶ τὸ νοεῖν καὶ τὸ φρονεῖν ὥσπερ αἰσθάνεσθαί τι εἶναι (ἐν ἀμφοτέροις τε γὰρ τούτοις κρίνει τι ἡ ψυχὴ καὶ γνωρίζει τῶν ὄντων), καὶ οἵ γε ἀρχαῖοι τὸ φρονεῖν καὶ τὸ αἰσθάνεσθαι ταὐτὸν εἶναί φασιν· ὥσπερ καὶ Ἐμπεδοκλῆς εἴρηκε «πρὸς παρεὸν γὰρ μῆτις ἀέξεται ἀνθρώποισιν» καὶ ἐν ἄλλοις «ὅθεν σφίσιν αἰεὶ καὶ τὸ φρονεῖν ἀλλοῖα παρίσταται». τὸ δ' αὐτὸ τούτοις βούλεται καὶ τὸ Ὁμή-

Hayduck e *^{p}201, 19*]: κεχωρισμένων S: καὶ κεχωρισμένων X: τε κα κεχωρισμένα W: κεχωρισμένα vel -μένως V: «κεχωρισμένον» *So 114, 38* δ' ἕν, ἑνὶ CWy *Alex ἀπ^{l} 94, 24 Si^{l} ^{p}201, 23*: δ' ἓν U: δ' ἑνί **a** SVX *So 114, 38*

15 (οὖν om V) (ᾗς X) τὸ ζῷον αἰσθητικὸν εἶναι **a** VWXy *Ph^{l} So 115, 15*: αἰσθητικὸν εἶναι τὸ ζῷον CSU (ὁρίσθω E, corr in διωρίσθω E^{x}) **16** (τοῦτον τὸν τρόπον C, eras τοῦτον et ins post τρόπον C^{2}) **17** ἐπεὶ **o**—y *Si^{l} ^{c}202, 12 Ph^{l} bis ^{p}490, 13 So 115, 17*: ἐπειδὴ y *Alex^{p} ap Ph 489, 9 cf ^{p}482, 12* (φοραῖς X) **18** (τε om y) καὶ τῷ νοεῖν καὶ τῷ κρίνειν **a** *Si^{l} Ph^{p} 489, 13 So 115, 18 cf Si^{p} 202, 9*: καὶ τῶ νοεῖν καὶ τῶ κρίνειν ἢ y: καὶ τῷ νοεῖν καὶ κρίνειν *Ph^{l} 489, 8*; [τὸ] *^{l}485, 8*: καὶ τῶ νοεῖν καὶ τῶ φρονεῖν SUV: καὶ τὸ κρίνειν καὶ νοεῖν W: καὶ τῶ [ex τὸ C^{x}] νοεῖν CX, exp καὶ τῷ κρίνειν E^{2} καὶ αἰσθάνεσθαι **a** CWXy *Si^{l} Ph^{l} ^{c}489, 13 So 115, 18*: om SUV **20** τε γὰρ **a** CSUX: γὰρ VWy *Ph^{l} So 115, 23* κρίνει τι ἡ ψ. **a** *So 115, 23*: ἡ ψ. κρίνει τι **b**—X: ἡ ψ. κρίνει τε X: ἡ ψ. κρίνει *Ph^{l}* **21** γε LCW, in ras E^{2} subf vid μὲν: τε SUVXy (φρονεῖν τε καὶ X) **22** (εἶναι] ἀριθμῷ y) **23** ἀέξεται CW, [ἀέξετ'] V *Ph^{c} 485, 24 Th 87, 22 So 87. 26*: ἀέζεται L: δέξεται X, sscr α X^{2}: αὔξεται SU: ἐναύξεται E, corr in ἀέξεται E^{3} ἀνθρώποις SUX **24** αἰεὶ LCV: ἀεὶ ESUWXy **25** (ἀλλ' οἷα X) τούτοις βούλεται [eras -ις E] **a**: βούλεται τούτοις **b**—X: βούλεται τούτων X

ρου «τοῖος γὰρ νόος ἐστίν». πάντες γὰρ οὗτοι τὸ νοεῖν σωματικὸν ὥσπερ το αἰσθάνεσθαι ὑπολαμβάνουσιν, καὶ αἰσθάνεσθαί τε καὶ φρονειν τῷ ὁμοίῳ τὸ ὅμοιον, ὥσπερ καὶ ἐν τοῖς κατ' ἀρχὰς λόγοις διωρίσαμεν· καίτοι ἔδει ἅμα καὶ περὶ
427 b τοῦ ἠπατῆσθαι αὐτοὺς λέγειν, οἰκειότερον γὰρ τοῖς ζῴοις, καὶ πλείω χρόνον ἐν τούτῳ διατελεῖ ἡ ψυχή· διὸ ἀνάγκη ἤτοι, ὥσπερ ἔνιοι λέγουσι, πάντα τὰ φαινόμενα εἶναι ἀληθῆ, ἢ τὴν τοῦ ἀνομοίου θίξιν ἀπάτην εἶναι, τοῦτο γὰρ ἐναντίον τῷ τὸ ὅμοιον τῷ ὁμοίῳ γνωρίζειν. δοκεῖ δὲ καὶ ἡ ἀπάτη καὶ ἡ ἐπιστήμη τῶν ἐναντίων ἡ αὐτὴ εἶναι. ὅτι μὲν οὖν οὐ ταὐτόν ἐστι τὸ αἰσθάνεσθαι καὶ τὸ φρονεῖν, φανερόν. τοῦ μὲν γὰρ πᾶσι μέτεστι, τοῦ δὲ ὀλίγοις τῶν ζῴων. ἀλλ' οὐδὲ τὸ νοεῖν, ἐν ᾧ ἐστὶ τὸ ὀρθῶς καὶ τὸ μὴ ὀρθῶς, τὸ μὲν ὀρθῶς φρόνησις καὶ ἐπιστήμη καὶ δόξα ἀληθής, τὸ δὲ μὴ ὀρθῶς τἀναντία τούτων, οὐδὲ τοῦτ' ἔστι ταὐτὸν τῷ αἰσθάνεσθαι· ἡ μὲν γὰρ αἴσθησις τῶν ἰδίων ἀεὶ ἀληθής, καὶ πᾶσιν ὑπάρχει τοῖς ζῴοις, διανοεῖσθαι δ' ἐνδέχεται καὶ ψευδῶς, καὶ οὐδενὶ ὑπάρχει ᾧ μὴ καὶ λόγος· φαντασία γὰρ ἕτερον καὶ

26 (post ἐστίν add ἐπιχθονίων ἀνθρώπων οἷον ἐπ' ἦμαρ ἄγησι πατὴρ ἀνδρῶν τε θεῶν τε mg UE[2]) **27** ὥσπερ τὸ **a** CWXy : ὥσπερ καὶ τὸ SUV, ins καὶ E[3] *So 115, 36* **28** (φρονεῖν] sscr νοεῖν W[1] : eras et post ὅμοιον ins C[2])
427 b 1 (ὑπατῆσθαι y) **2** τούτῳ **a** UWX *Si[c] 203, 29* *So 116, 1* : τούτοις CSVy **4** τῷ **a** CX *So 116, 10* : τὸ SU, [corr in τῶ] V, [sscr ω W[1]] W : om y **5** τὸ ὅμοιον τῷ ὁμοίῳ ESUVXy *So 116, 10* : τὸ ὅμοιον ὁμοίῳ C : τῷ ὁμοίῳ τὸ ὅμοιον LW (ἡ ἀπάτη καὶ om y) **6** ($ἡ_1$ om X) (ἡ αὐτὴ om X : post εἶναι ponit y) ταὐτόν **o**—Ey *Si[l]* *Ph[l]* : τὸ αὐτὸ E [ταὐτὸν E[3]], y **9** (post ἐν ras 14 litt C) $τὸ_2$ **o** *Si[l]* *Ph[c] 491, 8* : om *Ph[l]* μὲν **a** SVX *Ph[c] 491, 30* *So 116, 22* : μὲν γὰρ CUWy, ins γὰρ E[2] **10** $καὶ_2$ **b**—y *So 116, 22* : om E [ins E[2]] *Ph[c] 491, 30* : ἡ L : ἢ y **11** τοῦτό ἐστιν Wy, U [eras litt ante ἐστιν], *Ph[c] 492, 1* : τοῦτο δ' ἐστὶν **a** CSVX ταὐτὸν Ly *Ph[c] 492, 1* : ταὐτὸ E : τὸ αὐτὸ **b**—y (τὸ y)

αἰσθήσεως καὶ διανοίας, ἡ αὐτή τε οὐ γίγνεται ἄνευ αἰσθήσεως, καὶ ἄνευ ταύτης οὐκ ἔστιν ὑπόληψις. ὅτι δ' οὐκ ἔστιν ἡ αὐτὴ φαντασία καὶ ὑπόληψις, φανερόν. τοῦτο μὲν γὰρ τὸ πάθος ἐφ' ἡμῖν ἐστίν, ὅταν βουλώμεθα (πρὸ ὀμμάτων γὰρ ἔστι τι ποιήσασθαι, ὥσπερ οἱ ἐν τοῖς μνημονικοῖς τιθέμενοι καὶ εἰδωλοποιοῦντες), δοξάζειν δ' οὐκ ἐφ' ἡμῖν· ἀνάγκη γὰρ ἢ ψεύδεσθαι ἢ ἀληθεύειν. ἔτι δὲ ὅταν μὲν δοξάσωμεν δεινόν τι ἢ φοβερόν, εὐθὺς συμπάσχομεν, ὁμοίως δὲ κἂν θαρραλέον· κατὰ δὲ τὴν φαντασίαν ὡσαύτως ἔχομεν ὥσπερ ἂν εἰ θεώμενοι ἐν γραφῇ τὰ δεινὰ ἢ θαρραλέα. εἰσὶ δὲ καὶ αὐτῆς τῆς ὑπολήψεως διαφοραί, ἐπιστήμη καὶ δόξα καὶ φρόνησις καὶ τἀναντία τούτων, περὶ ὧν τῆς διαφορᾶς ἕτερος ἔστω λόγος.

περὶ δὲ τοῦ νοεῖν, ἐπεὶ ἕτερον τοῦ αἰσθάνεσθαι, τούτου δὲ τὸ μὲν φαντασία δοκεῖ εἶναι τὸ δὲ ὑπόληψις, περὶ φαντασίας διορίσαντας οὕτω περὶ θατέρου λεκτέον. εἰ δή ἐστιν ἡ φαντασία καθ' ἣν λέγομεν φάντασμά τι 428a

15 ἣ αὐτή scripsi : ἡ αὐτή LSUWX Ph^c *492, 9D* : καὶ αὐτὴ ut v V, καὶ del, αὕτη corr V^2 : αὕτη C : αὐτή E **16** (ὅταν X) **17** φαντασία sscr C^2U^2 Si^l*A* : νόησις **o** Si^p *206, 5* Ph^l *p492, 24* (post ὑπόληψις add καὶ νόησις Si^l*A*) μὲν om y Si^l *206, 8* **18** (γὰρ] γοῦν V : om U) **19** ἔστι τι [del τι E^3] **a** *So 118, 22* : ἔστι **b**—U Si^l : om U **20** ἢ [eras E] **a** Si^l *So 118, 25* : om **b** Ph^l **21** (ἔτι δὲ om X, ins ἔτι X^2) (μὲν om Si^l*A*) δοξάσωμεν **a** Si^l *So 118, 30 cf* Ph^p *493, 17* : δοξάζωμεν **b** Ph^l **22** (τι post 21 μὲν W) (πάσχομεν V) κἂν **a** *Th 89, 16* : καὶ ἐὰν Cy, corr E^2 : καὶ ἐὰν ᾖ SUVWX Si^l *So 118, 31* **23** (post θαρραλέον ins ᾖ E^3) (περ om W) **24** (ἐνι eras ι E) ἢ **a** Si^l *c221, 4* *So 118, 32* : καὶ **b** [ins X^2] **25** (αἱ διαφοραί W : διαφορά y) **26** τἀναντία **a** CWy : τὰ ἐναντία SUVX Si^l (ἕτερος ins W^2) **27** (ἔσται X) ($του_2$ [eras υ] E) **29** (διορίσασιν W, corr U^2)

428a 1 ἡ **b** ins E^x Si^l Ph^l *So 118, 5* : om **a** τι **o** Ph^l *Th 89, 30* *So 118, 5* : om Si^l

ἡμῖν γίγνεσθαι καὶ μὴ εἴ τι κατὰ μεταφορὰν λέγομεν, μία τίς ἐστι τούτων δύναμις ἢ ἕξις, καθ' ἣν κρίνομεν καὶ ἀληθεύομεν ἢ ψευδόμεθα. τοιαῦται δ' εἰσὶν αἴσθησις, δόξα, ἐπιστήμη, νοῦς. ὅτι μὲν οὖν οὐκ ἔστιν αἴσθησις, δῆλον ἐκ τῶνδε. αἴσθησις μὲν γὰρ ἤτοι δύναμις ἢ ἐνέργεια. οἷον ὄψις καὶ ὅρασις, φαίνεται δέ τι καὶ μηδετέρου ὑπάρχοντος τούτων, οἷον τὰ ἐν τοῖς ὕπνοις. εἶτα αἴσθησις μὲν ἀεὶ πάρεστι, φαντασία δ' οὔ. εἰ δὲ τῇ ἐνεργείᾳ τὸ αὐτό, πᾶσιν ἂν ἐνδέχοιτο τοῖς θηρίοις φαντασίαν ὑπάρχειν· δοκεῖ δ' οὔχ, οἷον μύρμηκι ἢ μελίττῃ, καὶ σκώληκι. εἶτα αἱ μὲν ἀληθεῖς αἰεί, αἱ δὲ φαντασίαι γίνονται αἱ πλείους ψευδεῖς. ἔπειτ' οὐδὲ λέγομεν, ὅταν ἐνεργῶμεν ἀκριβῶς περὶ τὸ αἰσθητόν, ὅτι φαίνεται τοῦτο ἡμῖν ἄνθρωπος· ἀλλὰ μᾶλλον ὅταν μὴ ἐναργῶς αἰσθανώμεθα [τότε ἢ ἀληθὴς ἢ ψευδής]. καὶ ὅπερ δὲ ἐλέγομεν πρότερον, φαίνεται καὶ μύουσιν ὁράματα. ἀλλὰ

2 γίγνεσθαι **a** UX *Ph*^{l} *So 118, 5* : ἐγγίνεσθαι Wy *Th 89, 30* : γενέσθαι CSV *Si*^{l} (εἰ μὴ C) (λέγεται C : λέγωμεν, -ωμεν in ras X^2) **3** ἐστι **a** CUWy *Si*^{l} *So 118, 6* : om SVX καὶ L *Si*^{l} *So 118, 7* : ἢ **o**—L *Ph*^{c} *497, 33* **4** ἢ LWy, in ras X^2 *Ph*^{c} *497, 33* *So 118, 7* : καὶ ECSUV *Si*^{l}*A* τοιαῦται **a** CUW *Ph*^{c} *497, 30* *Th 89, 33* : τοιαῦτα SVy *So 118, 7* : τοιαῦ (sic) X **5** ἐπιστήμη L *Th 89, 33* *So 118, 7* *cf Si*^{p} *208, 24* : ἐπιστήμην [eras ν] E : post νοῦς **b**—y *Ph*^{c} *497, 31* : post **4** αἴσθησις y οὖν **a** CUWy *Si*^{l} *Th 89, 36* *So 118, 8* : om SVX *Ph*^{l} αἴσθησις **o**—y *Ph*^{l} *So 118, 8* : αἴσθησις ἡ φαντασία y *Si*^{l} *Th 89, 36* (δῆλον δ' ἐκ X) **6** (μὲν om y) **7** (καὶ$_1$] ἢ C : om y) (δὲ in δὴ corr X^2) ὑπάρχοντος τούτων **a** y *Si*^{l} : τούτων ὑπάρχοντος **b**—y *So 118, 10* **9** (δέχοιτο X, ἐν ins X^2) **11** καὶ scripsi : ἢ **o** *Si*^{p} *209, 21; 308, 19* *Ph*^{p} *498, 31* (σκόλικι E, corr E^3) **12** ἔπειτα οὐδὲ **o**—EC *Ph*^{l} *So 118, 14* : ἔπειτα οὐ E sed eras : ἔτι οὐδὲ C, E^2 in ras **14** (ἀνθρώποις [eras ι] C) (ἐνεργῶς E) **15** (αἰσθανόμεθα y) τότε . . . ψευδής del To ἢ$_1$ LW *So 118, 16* : om E : καὶ ἢ C, [eras ἢ] U, ins E^2 : καὶ ἡ SVXy ἢ$_2$ **a** Wy *So 118, 16* : καὶ ἢ C, [eras καὶ] U, ins καὶ E^2 : καὶ ἡ SVX δὲ **a** W : δὴ **b**—W *So 118, 17* **16** (ὅραμά τι W)

μὴν οὐδὲ τῶν ἀεὶ ἀληθευόντων οὐδεμία ἔσται, οἷον ἐπιστήμη ἢ νοῦς· ἔστι γὰρ φαντασία καὶ ψευδής. λείπεται ἄρα ἰδεῖν εἰ δόξα· γίνεται γὰρ δόξα καὶ ἀληθὴς καὶ ψευδής. ἀλλὰ δόξῃ μὲν ἕπεται πίστις (οὐκ ἐνδέχεται γὰρ δοξάζοντα οἷς δοκεῖ μὴ πιστεύειν), τῶν δὲ θηρίων οὐθενὶ ὑπάρχει πίστις, φαντασία δ' ἐν πολλοῖς. ἔτι πάσῃ μὲν δόξῃ ἀκολουθεῖ πίστις, πίστει δὲ τὸ πεπεῖσθαι, πειθοῖ δε λόγος· τῶν δὲ θηρίων ἐνίοις φαντασία μὲν ὑπάρχει, λόγος δ' οὔ. φανερὸν τοίνυν ὅτι οὐδὲ δόξα μετ' αἰσθήσεως, οὐδὲ δι' αἰσθήσεως, οὐδὲ συμπλοκὴ δόξης καὶ αἰσθήσεως φαντασία ἂν εἴη, διά τε ταῦτα καὶ δῆλον ὅτι οὐκ ἄλλου τινός ἐστιν ἡ δόξα, ἀλλ' ἐκείνου ἐστὶν οὗ καὶ ἡ αἴσθησις· λέγω δ', ἐκ τῆς τοῦ λευκοῦ δόξης καὶ αἰσθήσεως ἡ συμπλοκὴ φαντασία ἐστίν· οὐ γὰρ δὴ ἐκ τῆς δόξης μὲν τῆς τοῦ ἀγαθοῦ, αἰσθήσεως δὲ τῆς τοῦ λευκοῦ· τὸ οὖν φαίνεσθαι ἔσται τὸ δοξάζειν ὅπερ αἰσθάνεται 428 b
μὴ κατὰ συμβεβηκός. φαίνεται δὲ καὶ ψευδῆ, περὶ ὧν

17 ἔσται **o**—X *Ph*^{l} *So 118, 18* : om X : ἐστίν *Si*^{l}*A* **20** (γὰρ οὐ δ. V, corr οὐ in τὸν V^2) **21** δοκεῖ ECSVXy *Th 90, 22 So 118, 36* : δοξάζει LW, U [sed -ξάζει in ras 3 litt] *Ph*^{p} *500, 20* **22** δ' ἐν **a** *So 118, 37* : δὲ **b** πάσῃ **a** [ins εἰ E^3] *Si*^{l} : εἰ πάσῃ SVXy, [eras εἰ] C, [corr in ἁπάσῃ U^1] U *Ph*^{l} : εἰ πᾶσι W **25** (ὅτι om W) οὐδὲ . . . οὐδὲ **o**—y *Ph*^{l} : οὔτε . . . οὐδὲ y : οὔτε . . . οὔτε *Si*^{l} ^{c}*212, 3 . 5 Th 90, 28* **27** ἄλλου τινος **a** UX *cf Si*^{p} *212, 30 Th 90, 34 So 119, 6* : ἄλλης τινος y : ἄλλη τινὸς *Si*^{l}*A* : ἄλλη τις CSVW *Ph*^{c} *504, 35* ἡ **a** CUy *Si*^{l} *Ph*^{l} : om SVWX **28** ἐκείνου **a** UX *Si*^{l} : ἐκείνης y : ἐκείνη CSV, [ου sscr] W : ᾗ ἐκείνη *Ph*^{c} *504, 35* ἐστὶν **a** U : ᾗπερ ἐστὶν SV : εἴπερ ἐστὶν CW : περ ἐστὶν X : ᾗσπερ ἐστὶν y : οὗπερ ἐστὶν *Si*^{l} *Ph*^{c} *504, 36* οὗ καὶ ἡ CSVWX : οὗπερ ἐστὶν καὶ ἡ U [ante καὶ ins ὁμοῦ U^2] : καὶ ἡ y : οὗ καὶ **a** : ὁμοῦ καὶ ἡ *Si*^{l} : ὁμοῦ καὶ *Ph*^{c} *504, 36* (ἐκ in εἰ corr V^2 : ὅτι ἐκ y) (τοῦ om X) **29** (δὴ om W)

428 b **1** ἔσται Tr : ἐστι **o** *Ph*^{l} **2** δὲ **a** *Si*^{l} : δέ γε **b** *Ph*^{l} καὶ ψευδῆ **o**—y *Si*^{l} *Ph*^{l} : καὶ ψευδὴς *Si*^{c} *213, 16 Aa* : ψευδὴς y

ἅμα ὑπόληψιν ἀληθῆ ἔχει, οἷον φαίνεται μὲν ὁ ἥλιος ποδιαῖος, πεπίστευται δ' εἶναι μείζω τῆς οἰκουμένης· συμβαίνει οὖν ἤτοι ἀποβεβληκέναι τὴν ἑαυτοῦ ἀληθῆ δόξαν, ἣν εἶχε, σῳζομένου τοῦ πράγματος, μὴ ἐπιλαθόμενον μηδὲ μεταπεισθέντα, ἢ εἰ ἔτι ἔχει, ἀνάγκη τὴν αὐτὴν ἀληθῆ εἶναι καὶ ψευδῆ. ἀλλὰ ψευδὴς ἐγίνετο, ὅτε λάθοι μεταπεσὸν τὸ πρᾶγμα. οὔτ' ἄρα ἕν τι τούτων ἐστὶν οὔτ' ἐκ τούτων ἡ φαντασία.

ἀλλ' ἐπειδή ἐστι κινηθέντος τουδὶ κινεῖσθαι ἕτερον ὑπὸ τούτου, ἡ δὲ φαντασία κίνησίς τις δοκεῖ εἶναι καὶ οὐκ ἄνευ αἰσθήσεως γίγνεσθαι ἀλλ' αἰσθανομένοις καὶ ὧν αἴσθησίς ἐστιν, ἔστι δὲ γίνεσθαι κίνησιν ὑπὸ τῆς ἐνεργείας τῆς αἰσθήσεως, καὶ ταύτην ὁμοίαν ἀνάγκη εἶναι τῇ αἰσθήσει, εἴη ἂν αὕτη ἡ κίνησις οὔτε ἄνευ αἰσθήσεως ἐνδεχομένη οὔτε μὴ αἰ-

3 (ὑπόλημψιν eras μ E) (ὑπόληψις ἀληθὴς W, corr U^2) ἔχει LCWy *Si^l Ph^l*: ἔχειν ESU, [ν eras] VX (ποδιος E, sscr αι E^2) **4** πεπίστευται EWy, corr U^2: πιστεύεται L: πέπεισται CSUVX, γρ. E^3 (εἶναι post 3 ποδιαῖος W) μείζω ECSUV, X [sscr ν X^2]: μείζων LWy **5** (γοῦν X) ἑαυτοῦ **b** *Ph^l*: αὑτοῦ **a**, ins ε E^2 ἀληθῆ **a** CUy: post εἶχε SVWX: om *Ph^l* **6** ἐπιλαθόμενον ESUy: ἐπιλανθανόμενον LCVWX **7** (ἢ in ras E^x) εἰ ἔτι] ὅτι L: εἴ τι *Ph^l p506, 3* τὴν αὐτήν CUVX: τὴν αὐτοῦ [sscr αὐτὴν] S: τὴν αὐτὴν ante ἀνάγκη LWy *Ph^l*: om E, ins E^2 post ἀνάγκη (καὶ εἶναι X) **8** ἐγίνετο **o**—E *Ph^l*: ἐγένετο E, corr in ἐγίνετο E^3 (ὅταν S) **9** οὔτ' SUVWX: οὐκ **a** Cy *Ph^l p506, 13* (ἄρα] γὰρ X: om S) (ἓν] ἂν X) **10** τουδὶ **a** CX *Si^l bis, Ph^l c512, 4* [τοῦ διὸ *t*, τοῦ δι' ὃν *D*]: τοῦδε SUVWy, [eras ι, in ras ε] E^x **11** τις **o**—W *Si^c 214, 32 So 119, 33*: τε in ras X^2: om W *Ph^{l}D* **12** αἴσθησίς ἐστιν **a** CXy *Ph^l bis*: ἡ αἴσθησίς ἐστιν W *Si^c 215, 3*: ἐστιν αἴσθησις *Si^c 214, 34 Ph^c 512, 24*: αἰσθήσεις εἰσίν UV: αἰσθήσεις S: «αἴσθησις» *So 119, 34* **13** γίνεσθαι LCSVWy *Si^c 214, 34*: γενέσθαι EUX, corr in γίνεσθαι E^3 (ἐναργείας C) **14** (ταύτην sscr α E^1) ὁμοίαν ἀνάγκη εἶναι **o**—SV *Ph^l*: ἀνάγκη ὁμ. εἶναι V *Si^c 214, 35*: ὁμ. εἶναι ἀνάγκη S **15** (αὐτὴ S, [del ἡ] C^3: αὐτῆς E) (αἰσθήσεως] κινήσεως y) (οὔτε μὴ] τε καὶ μὴ X [corr in οὔτε μὴ X^2]: τε μὴ γρ. mg C^3)

συμβαινόντων ὑπάρχειν, καὶ πολλὰ κατ' αὐτὴν καὶ ποιεῖν καὶ πάσχειν τὸ ἔχον, καὶ εἶναι καὶ ἀληθῆ καὶ ψευδῆ. τοῦτο δὲ συμβαίνει διὰ τάδε. ἡ αἴσθησις τῶν μὲν ἰδίων ἀληθής ἐστιν ἢ ὅτι ὀλίγιστον ἔχουσα τὸ ψεῦδος. δεύτερον δὲ τοῦ συμβεβηκέναι ταῦτα· καὶ ἐνταῦθα ἤδη ἐνδέχεται διαψεύδεσθαι· ὅτι μὲν γὰρ λευκόν, οὐ ψεύδεται, εἰ δὲ τοῦτο τὸ λευκὸν ἢ ἄλλο τι, ψεύδεται. τρίτον δὲ τῶν κοινῶν καὶ ἑπομένων τοῖς συμβεβηκόσιν, [οἷς ὑπάρχει τὰ ἴδια·] λέγω δ' οἷον κίνησις καὶ μέγεθος, ἃ συμβέβηκε τοῖς αἰσθητοῖς, περὶ ἃ μάλιστα ἤδη ἔστιν ἀπατηθῆναι κατὰ τὴν αἴσθησιν. ἡ δὲ κίνησις ἡ ὑπὸ τῆς ἐνεργείας γινομένη διοίσει [τῆς αἰσθήσεως] ἡ ἀπὸ τούτων τῶν τριῶν αἰσθήσεων. καὶ ἡ μὲν πρώτη παρούσης τῆς αἰσθήσεως ἀληθής, αἱ δ' ἕτεραι καὶ παρούσης καὶ ἀπούσης εἶεν ἂν ψευδεῖς, καὶ μάλιστα ὅταν πόρρω τὸ αἰσθητὸν ᾖ. εἰ οὖν μηθὲν μὲν ἄλλο ἔχει τὰ εἰρημένα ἢ φαν-

16 ὑπάρχειν **b** *Si^l*: ὑπάρχει **a** κατ' αὐτὴν **b** *Si^l c215, 29 Ph^c 513, 2 Th 93, 4 So 120, 2*: κατὰ ταύτην **a** καὶ$_2$ **a** SUVW *Th 93, 4 cf So 120, 2*: om CXy *Si^l Ph^c 513, 2* **17** (καὶ$_3$ om W) καὶ$_4$ **a** WXy *Si^c 215, 31 Ph^c 513, 10*: ἢ CU: ἢ καὶ SV **18** (ἢ om S) **19** (ὅτι om S) ὀλίγιστον ECWy *Ph^l Th 93, 9*: ὀλιγοστὸν LSUVX (δεύτερον] ἕτερον X) (post δὲ add ἐν οἷς U, del U²) τοῦ **b**—W *Ph^l*: τῷ **a**: τοῦ ᾧ W **20** (συμβεβηκότος X) (ἐνδέχεται ἤδη y) (διαψεύσασθαι E) **21** ψεύδεται **a** CWX: διαψεύδεται SUVy *Ph^l* τὸ LUWy *Ph^p 514, 1 . 3*: om ECSVy *Ph^l* **22** τι **a** y: om **b**—y *Ph^l* **23** οἷς . . . ἴδια del Maier (οἷς ins X²) **24** ἃ$_1$ **a** y: om **b**—y **25** δὲ **a** SVXy: δὴ C, [corr ex δὲ] U: δ' ἡ W *Ph^l D* **26** (ἡ om C) (κινουμένη W) τῆς αἰσθήσεως del To: τῶν αἰσθήσεων C **27** ἡ ἀπὸ . . . αἰσθήσεων **a** CXy *Ph^p 514, 17*: om SUVW καὶ **o**—SU *Si^l Ph^l*: om SU, ins U² **29** (ἂν om X) αἰσθητὸν **o**—CX: αἰσθητήριον CX **30** μὲν **a** y: om **b**—y *Ph^c 514, 31* ἔχει **b**—y *Ph^c 514, 31 t*: ἔχοι L *Ph^c 514, 31D*: ἔχοι ἢ Ey ἢ φαντασία LCSUXy: ἡ φαντασία E: ἢ ἡ φαντασία W: ἢ φαντασίαν V [corr in -α V²]: om *Ph^p 514, 32*

429^{a} τασία, τοῦτο δ' ἐστὶ τὸ λεχθέν, ἡ φαντασία ἂν εἴη κίνησις ὑπὸ τῆς αἰσθήσεως τῆς κατ' ἐνέργειαν γιγνομένη. ἐπεὶ δ' ἡ ὄψις μάλιστα αἴσθησίς ἐστι, καὶ τὸ ὄνομα ἀπὸ τοῦ φάους εἴληφεν, ὅτι ἄνευ φωτὸς οὐκ ἔστιν ἰδεῖν. καὶ διὰ τὸ ἐμμένειν καὶ ὁμοίας εἶναι ταῖς αἰσθήσεσι πολλὰ κατ' αὐτὰς πράττει τὰ ζῷα, τὰ μὲν διὰ τὸ μὴ ἔχειν νοῦν, οἷον τὰ θηρία, τὰ δὲ διὰ τὸ ἐπικαλύπτεσθαι τὸν νοῦν ἐνίοτε πάθει ἢ νόσοις ἢ ὕπνῳ, οἷον οἱ ἄνθρωποι. περὶ μὲν οὖν φαντασίας, τί ἐστι καὶ διὰ τί ἐστιν, εἰρήσθω ἐπὶ τοσοῦτον.

4 περὶ δὲ τοῦ μορίου τοῦ τῆς ψυχῆς ᾧ γινώσκει τε ἡ ψυχὴ καὶ φρονεῖ, εἴτε χωριστοῦ ὄντος εἴτε καὶ μὴ χωριστοῦ κατὰ μέγεθος ἀλλὰ κατὰ λόγον, σκεπτέον τίν' ἔχει διαφοράν, καὶ πῶς ποτὲ γίνεται τὸ νοεῖν. εἰ δή ἐστι τὸ νοεῖν ὥσπερ τὸ αἰσθάνεσθαι, ἢ πάσχειν τι ἂν εἴη ὑπὸ τοῦ νοητοῦ ἤ τι τοιοῦτον ἕτερον. ἀπαθὲς ἄρα δεῖ εἶναι, δεκτικὸν δὲ τοῦ εἴ-

429^{a} **2** (ἀπὸ L) γιγνομένη L *Si*^{p} *216, 25* *Ph*^{c} *515, 2* *Th 93, 25* : γινομένη E [ι in ras E^{3}, litt σ extremo vocabulo add E^{2}] : γιγνομένης **b** **3** ἐστι **a** y : om **b**—y *Ph*^{l} **5** ὁμοίας E [ας in ras], C [corr ex ὅμοια], SUVWX *Si*^{c} *216, 38* *Th 93, 27* : ὁμοίως Ly (ταισθήσεσι E, corr sscr αισ E^{2}) κατ' αὐτὰς CSUVX *Si*^{c} *216, 39* *Th 93, 28* : κατὰ ταύτας **a** Wy : κατὰ ταύτης *Ph*^{l}*D* πράττει **b** *Si*^{c} *216, 39* *Ph*^{l} *Th 93, 28* : πράττειν **a** **6** (οἷον om y) **7** (ἐνίοτε τὸν νοῦν W) (πάθει om C, ins πάθη mg C^{3}) νόσοις Ly *Si*^{c} *221, 12* *Th 93, 30* : νούσοις E, ου in ο corr, ω super οις sscr E^{3} : νόσω **b**—y **8** οἱ **a** CSVW *Si*^{c} *221, 12* *Th 93, 31* : om UXy (οὖν ins v E^{2}) τί **a** CWy *Si*^{l} *So 121, 20* : τίς SUVX **9** διὰ τί **b** *Si*^{l} : διότι **a** *So 121, 20* (ἐστιν om y) **10** τοῦ$_{2}$ ESV *Th 93, 32* : om LCUWX *Si*^{l} *bis*, *Ph*^{l} ^{c}*517, 33 ; 520, 21* : om et μορίου post ψυχῆς ponit y τε **o**—CW *Si*^{l} *bis*, *Ph*^{l} ^{c}*517, 33 ; 520, 21 . 25* : τί C : om W **11** καὶ$_{2}$ **b** *Si*^{l} *Ph*^{l} ^{c}*520, 30* : om **a** *Si*^{c} *222, 10* **12** (κατὰ τὸ μ. W) (κατὰ τὸν λ. W) **13** (τὸ νοεῖν γίνεται W) **14** τὸ **o**—SV *Si*^{l} ^{c}*225, 14* *Ph*^{l} : om SV τι **b** *Si*^{l} ^{c}*264, 17* ^{p}*223, 39* *So 124, 19* *cf Ph*^{p} *522, 10* : ὅτι **a** **15** (δὲ] sscr γὰρ V)

δους καὶ δυνάμει τοιοῦτον ἀλλὰ μὴ τοῦτο, καὶ ὁμοίως ἔχειν, ὥσπερ τὸ αἰσθητικὸν πρὸς τὰ αἰσθητά, οὕτω τὸν νοῦν πρὸς τὰ νοητά. ἀνάγκη ἄρα, ἐπεὶ πάντα νοεῖ, ἀμιγῆ εἶναι, ὥσπερ φησὶν Ἀναξαγόρας, ἵνα κρατῇ, τοῦτο δ' ἐστὶν ἵνα γνωρίζῃ· παρεμφαινόμενον γὰρ κωλύει τὸ ἀλλότριον καὶ ἀντιφράττει· ὥστε μηδ' αὐτοῦ εἶναι φύσιν μηδεμίαν ἀλλ' ἢ ταύτην, ὅτι δυνατόν. ὁ ἄρα καλούμενος τῆς ψυχῆς νοῦς (λέγω δὲ νοῦν ᾧ διανοεῖται καὶ ὑπολαμβάνει ἡ ψυχή) οὐθέν ἐστιν ἐνεργείᾳ τῶν ὄντων πρὶν νοεῖν. διὸ οὐδὲ μεμεῖχθαι εὔλογον αὐτὸν τῷ σώματι· ποιός τις γὰρ ἂν γίγνοιτο, ψυχρὸς ἢ θερμός· ἢ κἂν ὄργανόν τι εἴη, ὥσπερ τῷ αἰσθητικῷ· νῦν δ' οὐθέν ἐστιν· καὶ εὖ δὴ οἱ λέγοντες τὴν ψυχὴν εἶναι τόπον εἰδῶν, πλὴν ὅτι οὔτε ὅλη ἀλλ' ἡ νοητική, οὔτε ἐντελεχείᾳ ἀλλὰ δυνάμει τὰ εἴδη· ὅτι δ' οὐχ ὁμοία ἡ ἀπάθεια τοῦ αἰσθητικοῦ καὶ τοῦ νοητικοῦ, φανερὸν ἐπὶ τῶν αἰσθητηρίων καὶ τῆς αἰσθήσεως. ἡ μὲν γὰρ αἴσθησις οὐ δύναται αἰσθάνε-

16 (ἔχειν om X, ins X^{2}) **17** (τὸ νοοῦν V) **18** ἐπεὶ **a** *Si*^{l}: ἐπειδὴ **b**, ins δὴ E^{2} *Ph*^{l} *Th 94, 18* **20** κωλύσει W *Th 94, 23* ἀντιφράττει **a** *Ph*^{p} *523, 15 So 124, 26*: ἀντιφράξει UW *Ph*^{l} *Th 94, 23*: «ἀντιφράττοντος ἢ ἀντιφράξοντος» *Si*^{p} *226, 8*: ἀντιφράζει SVXy, C [ζ corr in ττ C^{2}] **21** (εἶναι φύσει **y**: φύσιν εἶναι W) μηδεμίαν **a** CWXy: τινὰ μηδεμίαν SUV *Si*^{l} **22** δυνατός *Si*^{l} *p227, 7 cf Th 94, 25* **25** τις [τι **y**] γὰρ ἂν Ey *Si*^{l}: γὰρ ἄν τις **o**—Ey γένοιτο *Si*^{l} ἢ ψυχρὸς ἢ θερμὸς E: ψυχρὸς ἢ θερμὸς L *So 124, 32*: ἢ θερμὸς ἢ ψυχρὸς **y** *Si*^{l}: θερμὸς ἢ ψυχρὸς **b**—**y** *Ph*^{p} *524, 1* **26** ῆ κἂν scripsi: ἢ κἂν **a y**: κἂν CW *Si*^{l} *So 124, 33*: καὶ SUVX **27** δὴ **o** *Si*^{l} *Ph*^{l} *^{c}165, 25; 307, 31 Ph*^{c} *in phys 516, 10 So 125, 36*: γε *Ph*^{c} *93, 4 Si*^{c} *in phys 540, 9 Asclep*^{c} *in metaph 69, 19; 167, 30* οἱ τὴν ψ. εἰρηκότες *Asclep l. c.* εἶναι **o** *Ph*^{l} *So 125, 36*: om *Si*^{l} *Ph*^{c} *93, 4; 165, 26; 307, 32 Asclep l. c. Si*^{c} *in phys l. c.* **28** ἀλλ' ἡ **a** CWy *So 125, 36*: om SUVX **29** (ὅμοια ἢ ἀπαθεία S) **30** αἰσθητικοῦ **a** CWy, corr U^{2}V^{2} *Si*^{l} *Th 104, 31 So 124, 37*: αἰσθητοῦ SUVX τοῦ$_{2}$ **o** *Si*^{l} *So 124, 38*: om *Th 104, 32*

429b σθαι ἐκ τοῦ σφόδρα αἰσθητοῦ, οἷον ψόφου ἐκ τῶν μεγάλων ψόφων, οὐδ' ἐκ τῶν ἰσχυρῶν χρωμάτων καὶ ὀσμῶν οὔτε ὁρᾶν οὔτε ὀσμᾶσθαι· ἀλλ' ὁ νοῦς ὅταν τι νοήσῃ σφόδρα νοητόν, οὐχ ἧττον νοεῖ τὰ ὑποδεέστερα, ἀλλὰ καὶ μᾶλλον· τὸ μὲν γὰρ αἰσθητικὸν οὐκ ἄνευ σώματος, ὁ δὲ χωριστός. ὅταν δ' οὕτως ἕκαστα γένηται ὡς ὁ ἐπιστήμων λέγεται ὁ κατ' ἐνέργειαν (τοῦτο δὲ συμβαίνει, ὅταν δύνηται ἐνεργεῖν δι' αὑτοῦ), ἔστι μὲν οὖν καὶ τότε δυνάμει πως, οὐ μὴν ὁμοίως καὶ πρὶν μαθεῖν ἢ εὑρεῖν· καὶ αὐτὸς δὲ αὑτὸν τότε δύναται νοεῖν.

ἐπεὶ δ' ἄλλο ἐστὶ τὸ μέγεθος καὶ τὸ μεγέθει εἶναι καὶ ὕδωρ καὶ ὕδατι εἶναι (οὕτω δὲ καὶ ἐφ' ἑτέρων πολλῶν, ἀλλ' οὐκ ἐπὶ πάντων· ἐπ' ἐνίων γὰρ ταὐτόν ἐστι), τὸ σαρκὶ εἶναι καὶ σάρκα ἢ ἄλλῳ ἢ ἄλλως ἔχοντι κρίνει· ἡ γὰρ σὰρξ

429b **1** ψόφου ἐκ LW *So 125, 1*: τοῦ ψόφου ἐκ **b**—W: ἐκ τοῦ ψόφου E *Th 104, 34*   τῶν μεγάλων **o** *So 125, 1*: τοῦ μεγάλου [ἢ] τῶν μικρῶν *Th 104, 34*   **2** (ἐκ] ἐπὶ W)   **5** (αἰσθητὸν X)   (ὁ δὲ] sscr νοῦς W: ὁ δὲ νοῦς y)   **6** (ἕκαστα] sscr ἑκάστῳ V: ante οὕτως W)   ὁ$_1$ **a** CUVX *Si*^{l}: om S, [ins W^2]Wy *cf Theophr ap Prisc 31, 8*   ὁ$_2$ **a** Cy *Si*^{l}: om SUVWX *cf Theophr ap Prisc 31, 9*   **7** (ἑαυτοῦ *Ph*^{l})   **8** (ἔσται V)   οὖν LW *Theophr ap Prisc 31, 10 Ph*^{l} *Th 95, 16*: om **o**—LW   καὶ τότε **a** W *Theophr ap Prisc 31, 10*: γὰρ καὶ τότε y: καὶ τότε ὁμοίως C, ins ὁμοίως E^2: ὁμοίως καὶ τότε SUVX *Ph*^{l} *Th 95, 16*   ὁμοίως **a** CWy *Si*^{c} *230, 8 Ph*^{l} *p524, 27 Th 95, 16*: om SUVX (καὶ$_2$ om y)   ἢ] καὶ *Theophr ap Prisc 31, 11*   **10** τὸ$_1$ **o**—Wy *Ph*^{l}: om W *Si*^{l} *Ph*^{c} *528, 33*: τό τε y   (τὸ$_2$ om C, exp E^2: τῷ S)   **11** ὕδωρ **o** *Ph*^{l}: τὸ ὕδωρ *Si*^{l}*A Ph*^{c} *528, 33*   ὕδατι **b** *Ph*^{l}: τὸ ὕδατι [τὸ exp E^2] **a** *Si*^{l} *Ph*^{c} *528, 34* [τῷ *Dt*, sed τὸ *p528, 37*]   (εἶναι] ἐστιν X)   (οὕτω δὲ om C: δὲ om V)   (ἑτέρων δὲ πολλῶν CV)   **12** οὐκ **o** *Si*^{l} *Th 96, 5*: οὐ καὶ *Ph*^{l} (γὰρ] μὲν γὰρ W)   (ταὐτὸ E, ν ins E^3)   **13** ἢ$_1$ **b**—y *Si*^{l} *Ph*^{l}: καὶ ἢ **a** [καὶ exp E^2]: καὶ y   ἔχοντι CWXy *Si*^{l} *p232, 13 Ph*^{l} *Th 94, 14 cf Ph*^{p} *259, 25 So 126, 25*: om **a** SUV, ins E^2 κρίνει **b**: κρίνει ὁ νοῦς **a** [exp ὁ νοῦς E^2, E^3]

οὐκ ἄνευ τῆς ὕλης, ἀλλ' ὥσπερ τὸ σιμόν, τόδε ἐν τῷδε. τῷ μὲν οὖν αἰσθητικῷ τὸ θερμὸν καὶ τὸ ψυχρὸν κρίνει, καὶ ὧν λόγος τις ἡ σάρξ· ἄλλῳ δὲ ἤτοι χωριστῷ ἢ ὡς ἡ κεκλασμένη ἔχει πρὸς αὐτὴν ὅταν ἐκταθῇ, τὸ σαρκὶ εἶναι κρίνει. πάλιν δ' ἐπὶ τῶν ἐν ἀφαιρέσει ὄντων τὸ εὐθὺ ὡς τὸ σιμόν· μετὰ συνεχοῦς γάρ· τὸ δὲ τί ἦν εἶναι, εἰ ἔστιν ἕτερον τὸ εὐθεῖ εἶναι καὶ τὸ εὐθύ, ἄλλο· ἔστω γὰρ δυάς. ἑτέρῳ ἄρα ἢ ἑτέρως ἔχοντι κρίνει. ὅλως ἄρα ὡς χωριστὰ τὰ πράγματα τῆς ὕλης, οὕτω καὶ τὰ περὶ τὸν νοῦν. ἀπορήσειε δ' ἄν τις, εἰ ὁ νοῦς ἁπλοῦν ἐστὶ καὶ ἀπαθὲς καὶ μηθενὶ μηθὲν ἔχει κοινόν, ὥσπερ φησὶν Ἀναξαγόρας, πῶς νοήσει, εἰ τὸ νοεῖν πάσχειν τί ἐστιν. ᾗ γάρ τι κοινὸν ἀμφοῖν ὑπάρχει, τὸ μὲν ποιεῖν δοκεῖ τὸ δὲ πάσχειν. ἔτι δ' εἰ νοητὸς καὶ αὐτός. ἢ γὰρ τοῖς ἄλλοις νοῦς ὑπάρξει, εἰ μὴ κατ' ἄλλο αὐτὸς νοητός, ἓν δέ τι τὸ νοητὸν εἴδει, ἢ μεμειγμένον τι ἕξει, ὃ ποιεῖ νοητὸν αὐτὸν ὥσπερ τἆλλα. ἢ τὸ μὲν πάσχειν κατὰ

14 (σιμόν] σιμ- in ras E³: σημεῖον y, U [eras, in ras σιμόν]) (τόδε om V) **15** τὸ θερμὸν καὶ τὸ ψυχρὸν **b**—V *Si^l Ph^l*: τὸ θερμὸν καὶ ψυχρὸν **a**: om V (καὶ₂ om C, ins C³: exp E²) **16** (ὁ λόγος E) (δὲ om V) ἢ₂ **a** Cy *Si^c 232, 31 Ph^l*: om SUVWX (κεχωρισμένη X) **17** αὑτὴν SU, corr V²: ἑαυτὴν *Si^c 232, 32 Ph^l*: αὐτὴν **o**—SU (εἶναι καὶ κρίνει L) **18** (ἐν om X) **19** (εἰ om L) (post ἔστιν ins δ' V²) **20** (τὸ₁ in τῷ Xˣ) ἄλλο CSVX: ἄλλῳ **a** UW [sscr ο W¹], y *Si^l Ph^l* **21** (ἑτέρω X) ὅλως LCSUVX *Si^l Ph^c 532, 12*: καὶ ὅλως EWy (ἄρα om E, ins E²) **22** (καὶ corr ex τε V¹) **23** (ἁπλοῦν corr ν in σ Vˣ) (ἀπαθὴς E, corr in -ὲς E³) **24** ἔχει **a** CWy *Si^l*: ἔχειν X: ἔχων SUV (φασιν ὁ 'Α. X) (εἰ . . . **25** ἐστιν om W, ins W²) **25** ᾗ **o**—L *Si^l cf Ph^p 532, 24*: ἢ L: εἰ Ald *Ph^c 532, 23 Dt* **26** (δ' om E, ins E²) **27** γὰρ **o**—y *Ph^c 532, 34*: γὰρ καὶ y *Si^l* νοῦς **a**: ὁ νοῦς **b** *Si^l Ph^c 532, 34* ὁ αὐτὸς *Si^l A* **28** (τι₂] τῇ S) **29** (πάσχειν om V)

κοινόν τι διήρηται πρότερον, ὅτι δυνάμει πώς ἐστι τὰ νοητὰ ὁ νοῦς, ἀλλ' ἐντελεχείᾳ οὐδέν, πρὶν ἂν νοῇ. δεῖ δ' οὕτως
430 a ὥσπερ ἐν γραμματείῳ ᾧ μηθὲν ὑπάρχει ἐντελεχείᾳ γεγραμμένον· ὅπερ συμβαίνει ἐπὶ τοῦ νοῦ. καὶ αὐτὸς δὲ νοητός ἐστιν ὥσπερ τὰ νοητά. ἐπὶ μὲν γὰρ τῶν ἄνευ ὕλης τὸ αὐτό ἐστι τὸ νοοῦν καὶ τὸ νοούμενον· ἡ γὰρ ἐπιστήμη ἡ θεωρητικὴ καὶ τὸ οὕτως ἐπιστητὸν τὸ αὐτό ἐστιν. τοῦ δὲ μὴ ἀεὶ νοεῖν τὸ αἴτιον ἐπισκεπτέον. ἐν δὲ τοῖς ἔχουσιν ὕλην δυνάμει ἕκαστόν ἐστι τῶν νοητῶν. ὥστ' ἐκείνοις μὲν οὐχ ὑπάρξει νοῦς (ἄνευ γὰρ ὕλης δύναμις ὁ νοῦς τῶν τοιούτων), ἐκείνῳ δὲ τὸ νοητὸν ὑπάρξει.

Ἐπεὶ δ' ὥσπερ ἐν ἁπάσῃ τῇ φύσει ἐστί τι τὸ μὲν ὕλη 5
ἑκάστῳ γένει (τοῦτο δὲ ὃ πάντα δυνάμει ἐκεῖνα), ἕτερον δὲ

30 διήρηται LCUWXy *Sil c236,10 Phl*: διείρηται SV, ut v E [corr ει in η E³] **31** (οὐδὲν . . . **430 a 1** ἐντελεχείᾳ om L) ἂν C, ins E² *Th 97,20*: ἂν μὴ SUVWy, [eras μὴ] X: om E *Sil c236,17 Prisc 35,33* νοῇ **o**[—L] *Th 97,20*: νοεῖν *Sil c236,17 Prisc 35,33*

430 a 1 ᾧ W: om ESUVXy, ut v C [ins Cˣ] *Sil* ὑπάρχει EW: ὑπάρχειν SUVXy, [eras ν] C *Sil* γεγραμμένον **b** *Sil Th 97,22*: καταγεγραμμένον **a** [κατα exp E²] **2** (ὥσπερ S) (δὲ eras X) **3** (ἐστι καὶ τὸ y) **4** $ἡ_2$ **b** *Sic 237,24.31 Th 97,36 Prisc Lyd 36,26*: om **a** *Phc 534,2* καὶ τὸ **o** *Sic 237,24.31 Th 97,36*: τὸ δὲ *Phc 534,2* **5** ἐπιστητὸν LSUVWX, γρ. E³ *Sic 237,24.31 Phc 534,2 Th 97,36*: ἐπιστον E, exp E²: θεωρητικὸν Cy, ins E² **6** δυνάμει **o**—y: δυνάμει μόνον y *Sil* **7** ὑπάρξει **o**—V *cf Sip 239,4*: ὑπάρχει V *SilA* **8** δύναμις **a** *Sil*: δύναμίς ἐστιν **b**, ins E³ ἐκεῖνο L: ἐκείνοις X [οις in ras X²] *Sil cf p239,29.31* (ἀνόητον y) **10** (δ'] δὴ W) ἁπάσῃ **o**—Wy *Phl c539,13 Th 103,1 So 125,15*: πάσῃ Wy *Theophr ap Th 108,20 Sil 240,1* ἁπάσῃ τῇ φ.] πᾶσιν *Sil 241,17* **11** ἑκάστῳ **o** *Phc 539,14*: ἐν ἑκάστῳ *SilA So 125,15*: ἑκάστῳ τῷ *PhlD* ὃ **a** SUVW, corr Cˣ *Sil Phl c539,14 So 125,16*: τὸ CX, corr E²: τὸ ὃ y: ὅ τε *Phc 539,14t* (ἐκεῖνο E, ο in α E³)

τὸ αἴτιον καὶ ποιητικόν, τῷ ποιεῖν πάντα, οἷον ἡ τέχνη πρὸς τὴν ὕλην πέπονθεν, ἀνάγκη καὶ ἐν τῇ ψυχῇ ὑπάρχειν ταύτας τὰς διαφοράς. καὶ ἔστιν ὁ μὲν τοιοῦτος νοῦς τῷ πάντα γίνεσθαι, ὁ δὲ τῷ πάντα ποιεῖν, ὡς ἕξις τις, οἷον τὸ φῶς· τρόπον γάρ τινα καὶ τὸ φῶς ποιεῖ τὰ δυνάμει ὄντα χρώματα ἐνεργείᾳ χρώματα. καὶ οὗτος ὁ νοῦς χωριστὸς καὶ ἀπαθὴς καὶ ἀμιγής, τῇ οὐσίᾳ ὢν ἐνέργεια. ἀεὶ γὰρ τιμιώτερον τὸ ποιοῦν τοῦ πάσχοντος καὶ ἡ ἀρχὴ τῆς ὕλης. τὸ δ' αὐτό ἐστιν ἡ κατ' ἐνέργειαν ἐπιστήμη τῷ πράγματι· ἡ δὲ κατὰ δύναμιν χρόνῳ προτέρα ἐν τῷ ἑνί, ὅλως δὲ οὐδὲ χρόνῳ, ἀλλ' οὐχ ὁτὲ μὲν νοεῖ ὁτὲ δ' οὐ νοεῖ. χωρισθεὶς δ' ἐστὶ μόνον τοῦθ' ὅπερ ἐστί, καὶ τοῦτο μόνον ἀθάνατον καὶ ἀΐδιον. οὐ μνημονεύομεν δέ, ὅτι τοῦτο μὲν ἀπαθές, ὁ δὲ παθητικὸς νοῦς φθαρτός. καὶ ἄνευ τούτου οὐθὲν νοεῖ.

12 ποιητικὸν **o**—LW *Si^l Ph^l*: τὸ ποιητικὸν LW τῷ ESUVWy *Si^l*: ὃ τῶ LC [τῶ ex τὸ], X [ὅτω], *Ph^l* (ἡ om V) **13** (πέπονθε πρὸς τὴν ὕλην S) **14** (τῷ] τὸ S) **16** (καὶ om V) (ὄντα om *Th 106, 4*) **17** (ἐνεργεία ὄντα χρώματα W) (οὗτος corr ex οὕτως C^xV^2: οὐχ ὡς S) **18** ἀπαθὴς καὶ ἀμιγής **a** *Si^l p243, 14 Si^c in de coelo 279, 21 Th 99, 35; 105, 5*: ἀμιγὴς καὶ ἀπαθὴς **b** *Ph^l p540, 4 So 125, 22* (ὢν] ὡς ὢν **y**) ἐνέργεια Uy, corr C^x *Theophr ap Prisc 28, 12; 29, 25 Si^c in phys 1162, 3A Si^l c243, 37 p245, 21; 248, 12 Si^c in de coelo 279, 22 So 125, 23A cf Ph^p 534, 24*: ἐνεργείᾳ **o**—Uy *Ph^l c540, 6 Th 106, 5 So 125, 23BC* **19** τὸ δ' αὐτὸ **a** *So 125, 24*: τὸ αὐτὸ δ' CUVWXy *Ph^l*: αὐτὸ δ' S: ἡ αὐτὴ δὲ *Si^l* **21** οὐδὲ **b** ins δὲ E^2W *Si^l So 125, 25*: οὐ **a** *Ph^c 540, 30*: οὐδὲ ἐν *Th^c 101, 23 . 28* **22** οὐχ **o**—Wy *Ph^p 540, 21 Th^c 101, 24 p99, 35 Alex Plotinus Marinus ap Ph 535, 26 . 29 . 33*: om Wy γρ. mg U^x *Si^l p245, 34 c263, 8 Plutarchus ap Ph 535, 13 So 125, 26* (ὅτε δ' οὐ νοεῖ W) (ἐστὶ om **V**: post μόνον W) **23** (ἀΐδιον καὶ ἀθάνατον W) **25** (οὐδὲ X)

---

24 μνημονεύομεν . . . 431 ^b **16** ἐκεῖνα exciso folio desunt in E

Ἡ μὲν οὖν τῶν ἀδιαιρέτων νόησις ἐν τούτοις, περὶ ἃ οὐκ ἔστι τὸ ψεῦδος. ἐν οἷς δὲ καὶ τὸ ψεῦδος καὶ τὸ ἀληθές, σύνθεσίς τις ἤδη νοημάτων ὥσπερ ἓν ὄντων, καθάπερ Ἐμπεδοκλῆς ἔφη «ᾗ πολλῶν μὲν κόρσαι ἀναύχενες ἐβλάστησαν», ἔπειτα συντίθεσθαι τῇ φιλίᾳ, οὕτω καὶ ταῦτα κεχωρισμένα συντίθεται, οἷον τὸ ἀσύμμετρον καὶ ἡ διάμετρος· ἂν δὲ γενο- **6**
430b μένων ἢ ἐσομένων, τὸν χρόνον προσεννοῶν καὶ συντιθείς. τὸ γὰρ ψεῦδος ἐν συνθέσει ἀεί· καὶ γὰρ ἂν τὸ λευκὸν μὴ λευκόν, τὸ μὴ λευκὸν συνέθηκεν. ἐνδέχεται δὲ καὶ διαίρεσιν φάναι πάντα. ἀλλ' οὖν ἔστι γε οὐ μόνον τὸ ψεῦδος ἢ ἀληθές, ὅτι λευκὸς Κλέων ἐστίν, ἀλλὰ καὶ ὅτι ἦν ἢ ἔσται. τὸ δὲ ἓν ποιοῦν, τοῦτο ὁ νοῦς ἕκαστον. τὸ δ' ἀδιαίρετον ἐπεὶ διχῶς, ἢ δυνάμει ἢ ἐνεργείᾳ, οὐθὲν κωλύει νοεῖν τὸ ἀδιαίρετον, ὅταν νοῇ τὸ μῆκος (ἀδιαίρετον γὰρ ἐνεργείᾳ), καὶ ἐν χρόνῳ ἀδιαιρέτῳ· ὁμοίως γὰρ ὁ χρόνος διαιρετὸς καὶ ἀδιαίρετος τῷ μήκει. οὔκουν ἔστιν εἰπεῖν ἐν τῷ ἡμίσει τί ἐννοεῖ ἑκατέρῳ· οὐ γάρ ἐστιν, ἂν μὴ διαιρεθῇ, ἀλλ' ἢ δυνάμει. χωρὶς δ' ἑκάτερον νοῶν τῶν ἡμίσεων διαιρεῖ καὶ τὸν χρόνον ἅμα· τότε

27 καὶ₁ om W *Sil* καὶ₂ L *Sil*: ἤδη καὶ **b** *cf Th 109, 8* (σύνεσις L: συνθεμένων W) **28** (τις] τε τις V: om W) ἤδη τῶν ν. LW *SilA Dexippusc in categ 9, 27* **29** (ἢ LUX) **30** συντίθεσθαι **o**: συντεθεῖσαι *Sic 250, 24* **31** συντίθεται LUX: συντίθεσθαι CSVWy post διάμετρος add ἢ τὸ σύμμετρον καὶ ἡ διάμετρος W *Sic 250, 25* ἐὰν W *Sil c250, 34 Phl* γενομένων **o** *Sic 250, 34 Phl Th 109, 19*: γινομένων *SilA*

430b 1 (τῶν χρόνων X) (πρὸς ἓν νοῶν LX *Phl*) **2** (ἀεὶ om X) **4** τὸ om LW **5** (ἔσται] ἐστί X) δὲ **o**—WX *Sil*: δὴ WX corr U² *Phl* **6** (τούτων W) ἢ LCVWy *Sil* (*bis*) *r251, 33 Phl*: ἢ τὸ SUX **9** καὶ ἀδιαίρετος **o**—WX *Sil c253, 22 Phl r549, 24 Th 110, 9*: om WX, suppl W² **10** ἐννοεῖ SUVX *Sil r253, 31 Phl*: ἐνόει LCWy **12** τῶν ἡμίσεων LVW *Sil Phl*: ante ἑκάτερον SU: om CXy (τόδε X) **NB: o sine E!**

δ' οἱονεὶ μήκη. εἰ δ' ὡς ἐξ ἀμφοῖν, καὶ ἐν τῷ χρόνῳ τῷ ἐπ' ἀμφοῖν. τὸ δὲ μὴ κατὰ ποσὸν ἀδιαίρετον ἀλλὰ τῷ εἴδει νοεῖ ἐν ἀδιαιρέτῳ χρόνῳ καὶ ἀδιαιρέτῳ τῆς ψυχῆς· κατὰ συμβεβηκὸς δέ, καὶ οὐχ ᾗ ἐκεῖνα, διαιρετὰ ᾧ νοεῖ καὶ ἐν ᾧ χρόνῳ [ἀλλ' ᾗ ἀδιαίρετα]· ἔνεστι γὰρ κἀν τούτοις τι ἀδιαίρετον, ἀλλ' ἴσως οὐ χωριστόν, ὃ ποιεῖ ἕνα τὸν χρόνον καὶ τὸ μῆκος. καὶ τοῦθ' ὁμοίως ἐν ἅπαντί ἐστι τῷ συνεχεῖ καὶ χρόνῳ καὶ μήκει. ἡ δὲ στιγμὴ καὶ πᾶσα διαίρεσις, καὶ τὸ οὕτως ἀδιαίρετον, δηλοῦται ὥσπερ ἡ στέρησις. καὶ ὅμοιος ὁ λόγος ἐπὶ τῶν ἄλλων, οἷον πῶς τὸ κακὸν γνωρίζει ἢ τὸ μέλαν· τῷ ἐναντίῳ γάρ πως γνωρίζει. δεῖ δὲ δυνάμει εἶναι τὸ γνωρίζον καὶ ἐνεῖναι ἐν αὐτῷ. εἰ δέ τινι μή ἐστιν ἐναντίον τῶν αἰτίων, αὐτὸ ἑαυτὸ γινώσκει καὶ ἐνεργείᾳ ἐστὶ καὶ χωριστόν. ἔστι δ' ἡ μὲν φάσις τι κατά τινος, ὥσπερ ἡ κατάφασις, καὶ ἀληθὴς ἢ ψευδὴς πᾶσα· ὁ δὲ νοῦς οὐ πᾶς, ἀλλ' ὁ τοῦ τί ἐστι κατὰ τὸ τί ἦν εἶναι ἀληθής, καὶ οὐ τὶ κατά τινος· ἀλλ' ὥσπερ τὸ ὁρᾶν τοῦ ἰδίου ἀληθές, εἰ δ' ἄν-

13 μήκη UXy corr L^1W^x *Si*^{l} ^{c}*253, 39*: μήκει LCSVW [sscr η V^1] *Ph*^{c} *550, 12. 13* ὡς LCVWy *Si*^{l}: om SUX [ins X^3] ἐν LSUXy *Si*^{l} *Ph*^{p} *550, 10*: om CVW (τῷ$_2$] τὸ U) **14** ποσὸν **b**—X *Si*^{l} *Ph*^{l}: τὸ ποσὸν LX **15** (διαιρετῷ X) ψυχῆς **o**—V *Si*^{l} ^{c}*254, 28* *cf* *Ph*^{p} *550, 20*: ψυχῆς νοήσει V, ins νοήσει C^2 *Th 110, 19* **17** ἀλλ' ᾗ ἀδ. del To, legit *Si*^{l} ^{c}*255, 34* (ἢ X) (ἔνεστι γὰρ om X: ἔστι γὰρ ἐν *Si*^{l}) **18** (ποιεῖ καὶ ἕνα W) **19** (ἐν] ὃν *Si*^{l}*A*) (παντὶ W *Si*^{l}*A*) (τῷ om *Si*^{l}*A*) **21** (οὕτως] οὔτε V) **22** (πῶς καὶ τὸ W) **24** (γνωρίζειν V) ἐνεῖναι **b**—X *Si*^{l} ^{c}*257, 26* *cf* *Ph*^{p}*553, 4*: ἓν εἶναι LX *Ph*^{l} ^{c}*552, 28Dt* (ἐν om W) **25** (αἰτίων] ἐναντίων S) αὐτὸ ἑαυτὸ CVXy: αὑτὸ αὑτὸ LU: αὐτὸ αὐτῷ S: ᾧ τὸ αὐτὸ W ἐνέργεια fort *Si*^{p} *258, 27. 31* *Th 112, 3* **26** (ἔτι δ' ἔστιν ἡ y) (τις L) (ὥσπερ καὶ ἡ W) **27** (ἢ] καὶ L) **28** (ἐστιν ἢ κατὰ X) (τὶ$_3$ eras X^2) **29** (τοῦ ἰδίου in τὸ δί corr C, τὸ δὶ V) **NB: o sine E!**

θρωπος τὸ λευκὸν ἢ μή, οὐκ ἀληθὲς ἀεί, οὕτως ἔχει ὅσα ἄνευ ὕλης.

431^{a} Τὸ δ' αὐτό ἐστιν ἡ κατ' ἐνέργειαν ἐπιστήμη τῷ πράγ- 7
ματι. ἡ δὲ κατὰ δύναμιν χρόνῳ προτέρα ἐν τῷ ἑνί, ὅλως δὲ οὐδὲ χρόνῳ· ἔστι γὰρ ἐξ ἐντελεχείᾳ ὄντος πάντα τὰ γιγνόμενα. φαίνεται δὲ τὸ μὲν αἰσθητὸν ἐκ δυνάμει ὄντος τοῦ αἰσθητικοῦ ἐνεργείᾳ ποιοῦν· οὐ γὰρ πάσχει οὐδ' ἀλλοιοῦται. διὸ ἄλλο εἶδος τοῦτο κινήσεως· ἡ γὰρ κίνησις τοῦ ἀτελοῦς ἐνέργεια, ἡ δ' ἁπλῶς ἐνέργεια ἑτέρα ἡ τοῦ τετελεσμένου. τὸ μὲν οὖν αἰσθάνεσθαι ὅμοιον τῷ φάναι μόνον καὶ νοεῖν· ὅταν δὲ ἡδὺ ἢ λυπηρόν, οἷον καταφᾶσα ἢ ἀποφᾶσα, διώκει ἢ φεύγει· καὶ ἔστι τὸ ἥδεσθαι καὶ λυπεῖσθαι τὸ ἐνεργεῖν τῇ αἰσθητικῇ μεσότητι πρὸς τὸ ἀγαθὸν ἢ κακόν, ᾗ τοιαῦτα. καὶ ἡ φυγὴ δὲ καὶ ἡ ὄρεξις ταὐτὸ ἡ κατ' ἐνέργειαν, καὶ οὐχ ἕτερον τὸ ὀρεκτικὸν καὶ φευκτικόν, οὔτ' ἀλλήλων οὔτε

30 οὕτως **o** *cf Ph*^{p} *557,9* : οὕτως δὲ *Si*^{l}*A Ph*^{l}*D* (ὅσα om W, sscr W^{2}) **31** ἄνευ τῆς ὕλης V *Ph*^{l}

431^{a} 1 δ' αὐτὸ LW : αὐτὸ δ' CUVXy *Si*^{l} *Ph*^{l} : δ' αὐτὸ δ' S **2** (ποτέρα U) (ἕνι ὧ ἕνι CV) ὅλως **o** *Si*^{l} *Ph*^{l} ^{c}*557,27 So 128,34* : ἁπλῶς *Ph*^{v} *557,27* **3** (ἐντελεχείας WXy) (ὄντως X, [corr in -ος] y) **4** αἰσθητὸν LCUWy *Ph*^{l} *Th 28,35* : αἰσθητήριον SVX γρ. mgC^{1} : αἰσθητικὸν *Si*^{l}*A* (ἐν X) **6** εἶδος τοῦτο κινήσεως L *Si*^{l} *cf* ^{p}*265,6* : τοῦτο εἶδος κινήσεως CUVy *Th 28,36* : τοῦτο κινήσεως SX [ins εἶδος X^{3}] **7** ἐνέργεια$_{1}$ LSUX *Si*^{l} ^{c}*265,12 Th 28,37* : ἐνεργεία S : ἐνέργεια ἦν CVWy (ἑτέρου *Si*^{l}*A*) ἡ$_{2}$ **b**—X *Si*^{p} *265,15 Th 29,1* : ἣ X : om L *Si*^{l}*A* **8** τῷ **o**—X *Si*^{l} : τὸ X *Ph*^{l}*D* **10** (ἀποφεύγει C) καὶ$_{2}$ LSX : ἢ CUVWy *Si*^{l} ^{c}*266,9* **11** (post ἀγαθὸν eras ἢ ἀγαθὸν X) (ἢ κακὸν om CS, suppl mg C^{2}) ᾗ τοιαῦτα CSUWy *Ph*^{c}*559,10* : ᾗ τοιαῦται V : ᾗ τοιούτου L : om X : ἢ τὰ τοιαῦτα *Si*^{l} ^{c}*266,10.15* **12** ἡ$_{1}$ et ἡ$_{2}$ **b**—W : om LW *Si*^{l} *cf Ph*^{l}*D* δὲ LW *Ph*^{l} : δὴ SUX *Si*^{l} : om CVy τὸ αὐτὸ LV, [in ras] X : ταὐτὸν C *Si*^{l} : τοῦτο SUWy *Ph*^{l} (ἡ$_{3}$ om V) **13** (τὸ] τι V) φευκτικόν **b** : τὸ φ. L *Si*^{l} ^{p}*266,37 Th 113,27* **NB : o** sine E!

τοῦ αἰσθητικοῦ· ἀλλὰ τὸ εἶναι ἄλλο. τῇ δὲ διανοητικῇ ψυχῇ τὰ φαντάσματα οἷον αἰσθήματα ὑπάρχει. ὅταν δὲ ἀγαθὸν ἢ κακὸν, κατάφησιν ἢ ἀπόφησιν καὶ φεύγει ἢ διώκει. διὸ οὐδέποτε νοεῖ ἄνευ φαντάσματος ἡ ψυχή. ὡς δὲ ὁ ἀὴρ τὴν κόρην τοιανδὶ ἐποίησεν, αὕτη δ' ἕτερον, καὶ ἡ ἀκοὴ ὡσαύτως, τὸ δὲ ἔσχατον ἕν, καὶ μία μεσότης, τὸ δ' εἶναι αὐτῇ πλείω, τίνι δ' ἐπικρίνει τί διαφέρει γλυκὺ καὶ θερμόν, εἴρηται μὲν καὶ πρότερον, λεκτέον δὲ καὶ ὧδε. ἔστι γὰρ ἕν τι, οὕτω δὲ ὡς ὁ ὅρος. καὶ ταῦτα ἓν τῷ ἀνάλογον καὶ τῷ ἀριθμῷ ὄν, ἔχει πρὸς ἑκάτερον, ὡς ἐκεῖνα πρὸς ἄλληλα· τί γὰρ διαφέρει τὸ ἀπορεῖν πῶς τὰ μὴ ὁμογενῆ κρίνει ἢ τὰ ἐναντία, οἷον λευκὸν καὶ μέλαν· ἔστω δὴ ὡς τὸ Α τὸ λευκὸν πρὸς τὸ Β τὸ μέλαν, τὸ Γ πρὸς τὸ Δ [ὡς ἐκεῖνα

14 δὲ **o**—S *Si*^{l} *Th 113,14* : δὴ S *Ph*^{l} **16** (κακόν ἐστι SV) κατάφησιν ἢ ἀπόφησιν SUV *Si*^{l}, corr bis in -φήσειν S^2 : φησὶν ἢ ἀπόφησι CX : φήση ἢ ἀποφήση L : καταφήση ἢ ἀποφήση y : κατάφασις ἢ ἀπόφασις W *cf Ph*^{p} *559,31 Th 113,18* καὶ **b** *Si*^{l} : om L **17** φαντάσματος **o** *cf Th 113,20* : φαντασίας *Si*^{l} ^{c}*267,30 cf Ph 560,1* ὡς scripsi : ὥσπερ **o** *Si*^{l} ^{c}*269,19 . 28 Ph*^{l} ^{p}*560,9 So 138,5* **18** αὕτη LSUVXy *Si*^{c} *269,20 ; 270,17 So 138,6* : αὐτὴ CW *Si*^{l}*A* **19** (post ἓν add φεύγει ἢ διώκει y) αὐτῇ LCWy *Si*^{l} : om SUVX [ins X^x] **20** (τὸ γλυκὺ *Si*^{l}*A*) **21** (καὶ$_1$ om W) (καὶ$_2$ om y) ὧδε LSUVX *Si*^{l} : νῦν CWy *cf Si*^{p} *271,2 Ph*^{p} *560,20* **22** ὡς ὁ SUV : καὶ ὁ CXy : ἡ στιγμὴ καὶ ὁ W, ins ἡ στιγμὴ mgC^2 : καὶ L : «ὥσπερ ὁ» *Ph*^{p} *560,25* : «ὥσπερ καὶ ὁ» *Si*^{p} *271,6* ἓν CUWy *Si*^{l} ^{p}*271,14 ; 272,7 Ph*^{l} ^{p}*560,31* : ἐν LSVX καὶ τῷ C *cf Ph*^{p} *560,26* : ἢ τῷ Ly : ἢ UVWX *Si*^{l} ^{c}*271,14 Ph*^{l} : om S **23** ὄν *Si*^{l} ^{c}*271,14* : ὂν **o** *Ph*^{l} ἑκάτερον **o**—X *Ph*^{l} : ἑκάτερα X sscr W^1 *Si*^{l} ^{c}*271,15 . 38* ὡς **o** *Ph*^{l} : ᾗ *Si*^{l} ^{c}*271,15* **24** (διαπορεῖν W *Ph*^{l}) (πῶς om X, ins X^3) μὴ LSUVX *Si*^{l} *Ph*^{l} ^{p}*561,5 So 138,25* : om CWy *Si*^{p} *272,3 . 7 . 21* **25** (ὡς ἐν τῷ y) A . . B . . etc] πρῶτον . . δεύτερον . . etc *Ph*^{c} *561,9 . 10* **26** πρὸς$_1$ LUWXy *Ph*^{c} *561,9* : καὶ CSV, del et ins πρὸς C^2 (πρὸς$_2$] ἀέρος X$_1$ sscr πρὸς X^3) ὡς . . . **27** ἄλληλα del Christ **NB: o** sine E!

πρὸς ἄλληλα]· ὥστε καὶ ἐναλλάξ. εἰ δὴ τὰ ΓΔ ἑνὶ εἴη ὑπάρχοντα, οὕτως ἕξει ὥσπερ καὶ τὰ ΑΒ, τὸ αὐτὸ μὲν καὶ ἕν, τὸ δ' εἶναι οὐ τὸ αὐτό, κἀκεῖνο ὁμοίως. ὁ δ' αὐτὸς
431 b λόγος καὶ εἰ τὸ μὲν Α τὸ γλυκὺ εἴη, τὸ δὲ Β τὸ λευκόν.

τὰ μὲν οὖν εἴδη τὸ νοητικὸν ἐν τοῖς φαντάσμασι νοεῖ, καὶ ὡς ἐν ἐκείνοις ὥρισται αὐτῷ τὸ διωκτὸν καὶ φευκτόν, καὶ ἐκτὸς τῆς αἰσθήσεως, ὅταν ἐπὶ τῶν φαντασμάτων ᾖ, κινεῖται. οἷον αἰσθανόμενος τὸν φρυκτὸν ὅτι πῦρ, τῇ κοινῇ γνωρίζει, ὁρῶν κινούμενον, ὅτι πολέμιος· ὁτὲ δὲ τοῖς ἐν τῇ ψυχῇ φαντάσμασιν ἢ νοήμασιν, ὥσπερ ὁρῶν λογίζεται καὶ βουλεύεται τὰ μέλλοντα πρὸς τὰ παρόντα· καὶ ὅταν εἴπῃ ὡς ἐκεῖ τὸ ἡδὺ ἢ λυπηρόν, ἐνταῦθα φεύγει ἢ διώκει, καὶ ὅλως ἐν πράξει. καὶ τὸ ἄνευ δὲ πράξεως, τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ἐν τῷ αὐτῷ γένει ἐστὶ τῷ ἀγαθῷ καὶ κακῷ· ἀλλὰ τῷ γε ἁπλῶς διαφέρει καὶ τινί. τὰ δὲ ἐν ἀφαι-

27 (ὥστε] οὕτως W) τὰ LCWy : om SUVX, ins U² ἑνὶ **o**—Cy : ἐν Cy **28** (οὕτως] καὶ C) (ἕξει ex ἔχει y¹) τὰ, LW corr U² : τὸ CSUVXy **29** καὶ ἕν LCWy *Ph^c 561, 18* : καὶ S : om UVX δ'₁ LCVWy *Ph^c 561, 18* : post εἶναι SU : om X (κακεῖνος C, ς eras)

431 b 1 καὶ LCWy : κἂν SUVX *Si^c 272, 28* τὸ μὲν LCWy : μὲν τὸ SUVX : τὸ *Si^c 272, 28* (τὸ₂ et τὸ₄ om W) **3** (ἐν om y) ὥρισται LCWy *Si^l* : ὥριστο UVX corr S *Si^c 273, 35* (αὐτῶ C : αὐτὸ y, sscr ω y¹) **4** αἰσθήσεως L *Si^l* : αἰσθήσεως ὂν CSUVX : αἰσθήσεως ὢν Wy (ἢ X) **5** (κινεῖται corr in κινῆται X²) φρυκτὸν **o** *Si^lc 274, 15 Ph^c 561, 31 Th 114, 1Q³* : φευκτὸν *Th 114, 1 vulg* (κοινῇ] κόρῃ ut v X, -ει X²) **6** ὅτε LC : ὁτὲ **b**—C *Si^l Ph^l* τοῖς ἐν **o** *Ph^l* : ἐν τοῖς ἐν *Si^l* **8** βουλεύεται LCWXy *Si^l* : βούλεται SUV **9** ἡδὺ ἢ λυπηρὸν **b**—W *Si^l* : ἡδὺ ἢ τὸ λυπηρόν L : λυπηρὸν ἢ ἡδὺ W (καὶ ἐνταῦθα y) **10** τὸ₂] καὶ τὸ y *Si^l A* **11** (τὸ om L) καὶ₂ CSVy *Si^l ^c275, 22* : καὶ τῷ LUX : ἢ τῷ W **12** τῷ SUVXy *Si^l* : τὸ LCW γε L *Si^l* : om **b** ἐν LWy *Si^l ^c276, 16 Ph^l bis, ^c566, 10 . 12* : om CSUVX *Th 114, 10* **NB : o sine E !**

ρέσει λεγόμενα νοεῖ ὥσπερ ἂν εἰ τὸ σιμόν, ᾗ μὲν σιμόν, οὐ κεχωρισμένως, ᾗ δὲ κοῖλον, εἴ τις ἐνόει ἐνεργείᾳ, ἄνευ τῆς σαρκὸς ἂν ἐνόει ἐν ᾗ τὸ κοῖλον· οὕτω τὰ μαθηματικὰ οὐ κεχωρισμένα ὡς κεχωρισμένα νοεῖ, ὅταν νοῇ ἐκεῖνα. ὅλως δὲ ὁ νοῦς ἐστιν ὁ κατ' ἐνέργειαν τὰ πράγματα [νοῶν]. ἆρα δ' ἐνδέχεται τῶν κεχωρισμένων τι νοεῖν ὄντα αὐτὸν μὴ κεχωρισμένον μεγέθους, ἢ οὔ, σκεπτέον ὕστερον.

8 Νῦν δὲ περὶ ψυχῆς τὰ λεχθέντα συγκεφαλαιώσαντες, εἴπωμεν πάλιν ὅτι ἡ ψυχὴ τὰ ὄντα πώς ἐστι πάντα· ἢ γὰρ αἰσθητὰ τὰ ὄντα ἢ νοητά, ἔστι δ' ἡ ἐπιστήμη μὲν τὰ ἐπιστητά πως, ἡ δ' αἴσθησις τὰ αἰσθητά· πῶς δὲ τοῦτο, δεῖ ζητεῖν. τέμνεται οὖν ἡ ἐπιστήμη καὶ ἡ αἴσθησις εἰς τὰ

13 ἂν LCWy *Si^l Ph^l bis*: om SUVX *cf Ph^p 566, 14* (εἰ om y) (σιμόν, om L : σιμότης X) **14** (κεχωρισμένον W) ᾗ δὲ κοῖλον **o**—Xy *Si^l A cf Th 114, 17* : ἣ δὲ κοῖδρη (sic) y : εἰ δὲ καμπύλον X : ᾗ δὲ καμπύλον *Si^p 278, 21 Ph^l p568, 27* εἴ τις CSUVW *Si^p 278, 26* : εἴ τι Ly *Si^c 278, 24 Aa* : om X : εἴ τι γε *Si^l A* ἐνόει **o**—SV *Si^l* : ἐννοεῖ SV *Si^c 278, 24 Aa* **15** (ἐννοῇ X) ἐν ᾗ LCWXy *Si^l c278, 28* : om SUV **16** οὐ κεχωρισμένα CUVy *Si^l c278, 32 Ph^c 566, 17* : οὐ κεχωρισμένα τῇ ὑποστάσει LW. mg C² *cf Th 114, 21* : οὐ κεχωρισμένω S : τῶν οὐ κεχωρισμένων X : οὐ κεχωρισμένως *Si^v 278, 33* ὡς κεχωρισμένα SUVWXy [sscr -ω y¹] *Si^l c278, 33 Ph^c 566, 17 cf Th 114, 22* : ὡσεὶ κεχωρισμένω C [corr in -α C²] : om L *Si^l A* : ὡς κεχωρισμένως *Si^v 278, 33* (νοεῖ] ἐνόει L) (ὅτε νοεῖ W) (ἐκεῖνος X) **17** νοῶν CSVWy *Si^l p279, 9* : om **a** UX *Ph^l p566, 24 ; 563, 5 ; c37, 27* **18** ὄντα αὐτὸν **a** : αὐτὸν ὄντα **b** *Si^l Ph^l* **19** (κεχωρισμεγεθους E, corr ins -μένον E²) (ὕστερον σκεπτέον y) **20** (νυνὶ *Ph^l*) **21** ἐστι πάντα **o**—X *Si^l Ph^c 567, 18* : ἐστιν ἅπαντα [τὰ πάντα X²] X *Th 115, 11* **22** ἢ γὰρ **b** *Si^l Ph^c 567, 18 Th 115, 12* : γὰρ ἢ **a** *So 138, 33 A* [om ἢ *BC*] τὰ **a** UWXy *Si^l Th 115, 12 So 138, 33* : om CSV δ' **b** *Th 115, 12 So 138, 35* : δὴ **a** **24** (ζητεῖν δεῖ U) τέμνεται **b** : τέμνει L *So 138, 36* : τεμνε vel τεμνει E, ται add Eˣ εἰς **b**—X : om **a** X *So 138, 36*, ins E²X² **NB** : usque ad v 16 **o** sine E!

πράγματα, ἡ μὲν δυνάμει εἰς τὰ δυνάμει, ἡ δ' ἐντελεχείᾳ εἰς τὰ ἐντελεχείᾳ. τῆς δὲ ψυχῆς τὸ αἰσθητικὸν καὶ τὸ ἐπιστημονικὸν δυνάμει ταὐτά ἐστι, τὸ μὲν ἐπιστητὸν τὸ δὲ αἰσθητόν. ἀνάγκη δ' ἢ αὐτὰ ἢ τὰ εἴδη εἶναι· αὐτὰ μὲν δὴ οὔ· οὐ γὰρ ὁ λίθος ἐν τῇ ψυχῇ, ἀλλὰ τὸ εἶ-
432a δος· ὥστε ἡ ψυχὴ ὥσπερ ἡ χείρ ἐστιν· καὶ γὰρ ἡ χεὶρ ὄργανόν ἐστιν ὀργάνων, καὶ ὁ νοῦς εἶδος εἰδῶν καὶ ἡ αἴσθησις [εἶδος αἰσθητῶν]. ἐπεὶ δὲ οὐδὲ πρᾶγμα οὐδέν ἐστι παρὰ τὰ μεγέθη, ὡς δοκεῖ, τὰ αἰσθητὰ κεχωρισμένον, ἐν τοῖς εἴδεσι τοῖς αἰσθητοῖς τὰ νοητά ἐστι, τά τε ἐν ἀφαιρέσει λεγόμενα, καὶ ὅσα τῶν αἰσθητῶν ἕξεις καὶ πάθη. καὶ διὰ τοῦτο οὔτε μὴ αἰσθανόμενος μηθὲν οὐθὲν ἂν μάθοι

25 ($ἡ_1$] εἰ E, in ἡ corr E³) τὰ δυνάμει **b** *Sip 281,6 Php 567,11 Th 115,16 :* δυνάμεις [σ eras, τὰ ins E²] **a** *So 138,38* [τὰς δ.] **26** τὰ ἐντελεχείᾳ CWy, corr E²U *Sip 281,6 Php 567,11 Th 115,16 :* τὰς ἐντελεχείας SUX *So 138,38 :* ἐντελεχείας **a** (αὐτῆς δὲ τῆς ψ. W) **27** $τὸ_1$ CWy *So 138,38 :* om **a** SUVX ταὐτά **b** *So 138,38 :* ταὐτόν **a**, sscr α Eˣ ἐπιστητὸν **a** CWXy *So 138,38 :* ἐπιστημονικὸν SUV, corr W² **28** αἰσθητὸν **a** CWy *So 138,39 :* αἰσθητικὸν SUVX, corr W² ($ἢ_2$ om X) (εἶναι] ἐστιν X) **29** μὲν **a** VW *Sil Phc 567,23 So 139,1B :* μὲν γὰρ CSUXy, ins E²W² *So 139,1AC* ὁ **b** *Sil Php 567,19 So 139,1 :* om **a** *Th 115,25*

432a 1 (περ om C) ἐστιν **o**—Cy *Sil Phl :* om Cy **2** εἶδος LUWX *Sil c282,27 Phl So 139,2 :* om E: ἐστιν εἶδος CSVy mg E² **3** εἶδος αἰσθητῶν delevi (δὲ exp E², om C, ins Cˣ) οὐδὲ **o**—S *Phl :* οὐδέν S: οὔτε *SilA :* οὕτω *Sic 284,14* **4** (μεγέθει S) **5** (τὸ νοητὸν X) ἐν Wy *Sil c284,1; 285,4 :* om **o**—Wy *Phl c568,22 Th 116,1* **6** ἕξεις **o**—CX *Sil c284,2 Phl c568,23 :* ἕξις X, [ι ex η corr] C $καὶ_2$ **o** *Sil c284,2 Phl :* ἢ *Phc 568,23* **7** (οὔτε] οὐδὲ y: οὖν ὁ *Phl*) (μὴ ins C: om *SilA*) αἰσθανόμενος **b** *Sil Phl :* αἰσθανόμενον **a** μηθὲν **o**—Cy *Sil :* om Cy *cf Phl* [sed, quae *568,26.27* leguntur, paraphrasis, non lemma esse videntur]

οὐδὲ ξυνείη· ὅταν τε θεωρῇ, ἀνάγκη ἅμα φάντασμά τι θεωρεῖν· τὰ γὰρ φαντάσματα ὥσπερ αἰσθήματά ἐστι, πλὴν ἄνευ ὕλης. ἔστι δ' ἡ φαντασία ἕτερον φάσεως καὶ ἀποφάσεως· συμπλοκὴ γὰρ νοημάτων ἐστὶ τὸ ἀληθὲς ἢ ψεῦδος. τὰ δὲ πρῶτα νοήματα τί διοίσει τοῦ μὴ φαντάσματα εἶναι; ἢ οὐδὲ τἆλλα φαντάσματα, ἀλλ' οὐκ ἄνευ φαντασμάτων.

9 Ἐπεὶ δὲ ἡ ψυχὴ κατὰ δύο ὥρισται δυνάμεις ἡ τῶν ζῴων, τῷ τε κριτικῷ, ὃ διανοίας ἔργον ἐστὶ καὶ αἰσθήσεως, καὶ ἔτι τῷ κινεῖν τὴν κατὰ τόπον κίνησιν, περὶ μὲν αἰσθήσεως καὶ νοῦ διωρίσθω τοσαῦτα, περὶ δὲ τοῦ κινοῦντος, τί ποτέ ἐστι τῆς ψυχῆς, σκεπτέον, πότερον ἕν τι μόριον αὐτῆς χωριστὸν ὂν ἢ μεγέθει ἢ λόγῳ, ἢ πᾶσα ἡ ψυχή, κἂν εἰ μόριόν τι, πότερον ἴδιόν τι παρὰ τὰ εἰωθότα λέγεσθαι καὶ τὰ εἰρημένα, ἢ τούτων ἕν τι. ἔχει δὲ ἀπορίαν εὐθὺς πῶς τε δεῖ μόρια λέγειν τῆς ψυχῆς καὶ πόσα. τρόπον γάρ τινα ἄπειρα φαίνεται, καὶ οὐ μόνον ἅ τινες

8 οὐδὲ **o**—W : οὐδ' ἂν W *Ph^c 569, 1* : οὔτ' ἂν *Si^l A* ξυνείη *Ph^l D* : ξυνίῃ **o** EW *Ph^c 569, 1* : ξυνίοι E [ι in ras, eras vid ει], W *Si^l A* (δὲ V) ἅμα **a** CWy *Ph^l* : ἄρα SUVX : ἆρα *Si^l A* φάντασμά τι LCU *Si^l p284, 13* *Ph^l p569, 5* : φαντασματι E [ι in ras], φαντάσματι y corr C^x *Th 116, 8* : φαντάσματα SVWX (εἰσὶ X) **10** καὶ ἀποφάσεως **a** Cy *Si^l Ph^l* : om SUVWX, ins X² : ἢ ἀποφάσεως ins W² **11** νοημάτων ἐστὶ **a** CWXy *Si^l* : ἐστι νοημάτων SUV (ἢ τὸ ψ. W) **12** νοήματα τί **b**—X, ins X² *Si^l Ph^p 569, 21* *^c45, 22* *Th 116, 17* *Ammonius in de interpr 6, 20* : νοήματα τίνι **a** : om X (φάντασμα E) **13** τἆλλα **o** *Ph^l ^c45, 23* *Ammonius in de interpr 6, 20* : ταῦτα *Si^l Th 116, 18* **15** (ὡρίσθη y) ἡ₂ **b**—W *Si^l* : om **a** *So 139, 25* : ἢ W, ins E² **17** (τὸ CS) **20** (χωριστὸν αὐτῆς W) ἢ₁ **a** VXy *Si^l ^c287, 8* : om CSUW *So 139, 28* **23** τε] ποτε W : om L *Ph^l* (δὴ E, δεῖ corr E³) λέγειν τῆς ψυχῆς **a** : ψυχῆς λέγειν **b**—X *Ph^l So 139, 31* : λέγειν ψυχῆς X **24** (post μόνον add πόσα U, exp U¹)

λέγουσι διορίζοντες, λογιστικὸν καὶ θυμικὸν καὶ ἐπιθυμητικόν, οἱ δὲ τὸ λόγον ἔχον καὶ τὸ ἄλογον· κατὰ γὰρ τὰς διαφορὰς δι' ἃς ταῦτα χωρίζουσι, καὶ ἄλλα φαίνεται μόρια μείζω διάστασιν ἔχοντα τούτων, περὶ ὧν καὶ νῦν εἴρηται, τό τε θρεπτικόν, ὃ καὶ τοῖς φυτοῖς ὑπάρχει καὶ πᾶσι τοῖς ζῴοις, καὶ τὸ αἰσθητικόν, ὃ οὔτε ὡς ἄλογον οὔτε ὡς λόγον ἔχον θείη ἄν τις ῥᾳδίως. ἔτι δὲ τὸ φανταστικόν,
432b ὃ τῷ μὲν εἶναι πάντων ἕτερον, τίνι δὲ τούτων ταὐτὸν ἢ ἕτερον, ἔχει πολλὴν ἀπορίαν, εἴ τις θήσει κεχωρισμένα μόρια τῆς ψυχῆς. πρὸς δὲ τούτοις τὸ ὀρεκτικόν, ὃ καὶ λόγῳ καὶ δυνάμει ἕτερον ἂν δόξειεν εἶναι πάντων. καὶ ἄτοπον δὴ τὸ τοῦτο διασπᾶν· ἔν τε τῷ λογιστικῷ γὰρ ἡ βούλησις γίνεται, καὶ ἐν τῷ ἀλόγῳ ἡ ἐπιθυμία καὶ ὁ θυμός· εἰ δὲ τρία ἡ ψυχή, ἐν ἑκάστῳ ἔσται ὄρεξις. καὶ δὴ καὶ περὶ οὗ νῦν ὁ λόγος ἐνέστηκε, τί τὸ κινοῦν κατὰ τόπον τὸ ζῷόν ἐστιν; τὴν

25 λέγουσι διορίζοντες **o**—Cy *So 139, 32* : λέγοντες διορίζουσι Cy (θυμιτικὸν [τι sscr S[1]] S) (ἐπιθυμητικόν om S) **26** τὸ$_2$ **o** —W *So 139, 33* : om W *Ph[l]* **27** ταῦτα **b** *Ph[l]* *So 139, 33* : ταύτας **a** φαίνεται CUWXy *Th 117, 8* : φαίνονται LSV *Ph[l]* : φανεῖται E *So 139, 34* **28** (καὶ] γε W) **29** τε [ins E[1]] **a** *So 139, 35* : δὲ **y** : om **b**—y ὃ **a** CWy *Th 117, 9* *So 139, 35* : om SUVX **30** (τὸ om X) (ὃ om U) **31** (θῇ X)

432b 1 ὃ **b** *So 139, 37* : om **a** *Ph[l]* *Th 117, 15* τῷ [corr ex τὸ y[1]] **b**—S *Ph[l]* *Th 117, 15* *So 139, 37* : τὸ **a** S (πάντως *So 139, 37 BC*) (ταὐτόν ἐστιν ἢ W, ἢ ins W[2]) (ἕτερον ὂν W, sed ὂν exp) **2** (εἴ τις in ras X[2]) **3** (ὀρεκτὸν X) **4** πάντων **o**—Cy *So 140, 2* *cf Th 117, 19* : om Cy καὶ$_2$ **a** SX *So 140, 2* *cf Th 117, 19* : om CUVWy δὴ **a** SUX *So 140, 2* : δὲ CVWy **5** τὸ [ins L[1]] **a** UV [ex τῶ V[2]], W *Si[p] 291, 5* *Th 117, 20* : om CSXy τοῦτο διασπᾶν **o**—VW *Th 117, 20* *So 140, 2* : τοῦτο φάναι διασπᾶν VW (τε om y) (βουλή W) **6** (ἡ$_1$] δὲ ἡ W) **7** (ἐστὶν X) (ὁ λόγος νῦν W)

μὲν γὰρ κατ' αὔξησιν καὶ φθίσιν κίνησιν. ἅπασιν ὑπάρχουσαν, τὸ πᾶσιν ὑπάρχον δόξειεν ἂν κινεῖν τὸ γεννητικὸν καὶ θρεπτικόν· περὶ δὲ ἀναπνοῆς καὶ ἐκπνοῆς καὶ ὕπνου καὶ ἐγρηγόρσεως ὕστερον ἐπισκεπτέον· ἔχει γὰρ καὶ ταῦτα πολλὴν ἀπορίαν. ἀλλὰ περὶ τῆς κατὰ τόπον κινήσεως, τί τὸ κινοῦν τὸ ζῷον τὴν πορευτικὴν κίνησιν, σκεπτέον. ὅτι μὲν οὖν οὐχ ἡ θρεπτικὴ δύναμις, δῆλον· ἀεί τε γὰρ ἕνεκά του ἡ κίνησις αὕτη, καὶ ἢ μετὰ φαντασίας ἢ ὀρέξεώς ἐστιν· οὐθὲν γὰρ μὴ ὀρεγόμενον ἢ φεῦγον κινεῖται ἀλλ' ἢ βίᾳ. ἔτι κἂν τὰ φυτὰ κινητικὰ ἦν, κἂν εἶχέ τι μόριον ὀργανικὸν πρὸς τὴν κίνησιν ταύτην. ὁμοίως δὲ οὐδὲ τὸ αἰσθητικόν· πολλὰ γάρ ἐστι τῶν ζῴων ἃ αἴσθησιν μὲν ἔχει, μόνιμα δ' ἐστὶ καὶ ἀκίνητα διὰ τέλους. εἰ οὖν ἡ φύσις μήτε ποιεῖ μάτην μηθέν, μήτε ἀπολείπει τι τῶν ἀναγκαίων, πλὴν ἐν τοῖς πηρώμασι καὶ ἐν τοῖς ἀτελέσιν· τὰ δὲ τοιαῦτα τῶν ζῴων τέλεια καὶ

9 (αὔξιν E, ι in η E^{x}) ἅπασιν ὑπάρχουσαν E sscr W^{x} *So 140, 10* : ἡ πᾶσιν ὑπάρχουσα W : αἳ πᾶσιν ὑπάρχουσι **o**—EW γρ. mg E^{3} 10 καὶ θρεπτικόν **b**—S *Th 117,24 So 140,11*: καὶ τὸ θρεπτικόν S : om **a** 11 καὶ₂ **o**—E *Ph^l So 140,11* : om E 13 τί **o**—E *Si^l Th 117,27 So 140,14* : om E 14 (post σκεπτέον repetit 12 ἔχει γὰρ ... 13 κινήσεως σκεπτέον V) 15 τε EC *Ph^l c581,39 So 140,14* ; τὸ X : om LSUVWy *Th 117,30* (ἢ₂ om E, ins E^{2}) 16 ἢ₁ **a** CVXy ins U^{2} *Si^c 292,12.15.21 Ph^l c582,1.11* : om SUW *So 140,15* 17 (ὀρεγόμενα L) κἂν **a** Wy sscr C^{2} *Ph^l* : καὶ CSUVX 18 (κιν. ἂν ἦν V^{2} *Ph^l*) 19 δὲ **o**—CX *Ph^l* : δὴ CX : om *Si^l* 20 ἐστὶ₂ **o**—Wy *Si^l Th 118,2* : om Wy 21 (διατελεῖ W) (εἰ] ἡ L) ἡ φύσις μήτε ποιεῖ μάτην μηθὲν **a**, [pro μηθὲν ras 5 litt] U *Si^c 295,7 So 140, 27* : ἡ φ. μήποτε π. μ. μ. X, [in μήποτε eras πο] C : ἡ φ. μήτε π. μ. οὐθὲν y : μηδέν τι ἡ φύσις μάτην ποιεῖ V : μήτε μηδὲν ἡ φύσις ποιεῖ μάτην S, [μάτην ποιεῖ] W 22 μή..τε [ras 2 litt] C) (ἀπολείπεται W) τι **a** W *So 140,27* cf *Si^l 294,11 Ph^l c582,34 Th 118,4* : om **b**—W *Si^c 295,7* (ἐν om X) (πειρώμασι S)

οὐ πηρώματά ἐστιν· σημεῖον δ' ὅτι γεννητικὰ καὶ ἀκμὴν ἔχει καὶ φθίσιν· ὥστ' εἶχεν ἂν καὶ τὰ ὀργανικὰ μέρη τῆς πορείας. ἀλλὰ μὴν οὐδὲ τὸ λογιστικὸν καὶ ὁ καλούμενος νοῦς ἐστιν ὁ κινῶν· ὁ μὲν γὰρ θεωρητικὸς οὐθὲν νοεῖ πρακτόν, οὐδὲ λέγει περὶ φευκτοῦ καὶ διωκτοῦ οὐθέν, ἀεὶ δὲ ἡ κίνησις ἢ φεύγοντός τι ἢ διώκοντός τί ἐστιν. ἀλλ' οὐδ' ὅταν θεωρῇ τι τοιοῦτον, ἤδη κελεύει διώκειν ἢ φεύγειν, οἷον πολλάκις διανοεῖται φοβερόν τι ἢ ἡδύ, οὐ κελεύει δὲ φοβεῖσθαι, ἡ δὲ καρδία
433a κινεῖται, ἂν δ' ἡδύ, ἕτερόν τι μόριον. ἔτι καὶ ἐπιτάττοντος τοῦ νοῦ καὶ λεγούσης τῆς διανοίας φεύγειν τι ἢ διώκειν οὐ κινεῖται, ἀλλὰ κατὰ τὴν ἐπιθυμίαν πράττει, οἷον ὁ ἀκρατής. καὶ ὅλως δὲ ὁρῶμεν ὅτι ὁ ἔχων τὴν ἰατρικὴν οὐκ ἰᾶται, ὡς ἑτέρου τινὸς κυρίου ὄντος τοῦ ποιεῖν κατὰ τὴν ἐπιστήμην, ἀλλ' οὐ τῆς ἐπιστήμης. ἀλλὰ μὴν οὐδ' ἡ ὄρεξις ταύτης κυρία τῆς κινήσεως· οἱ γὰρ ἐγκρατεῖς ὀρεγόμενοι καὶ ἐπιθυμοῦντες οὐ πράττουσιν ὧν ἔχουσι τὴν ὄρεξιν, ἀλλ' ἀκολουθοῦσι τῷ νῷ.

Φαίνεται δέ γε δύο ταῦτα κινοῦντα, ἢ ὄρεξις ἢ νοῦς, εἰ

24 ὅτι **b** *Th 118, 6* *So 140, 29* : ὅτι ἔστι **a** **25** (φύσιν V) **26** λογιστικὸν **o**—L *Si^l* *Th 118, 7* *So 141, 2* : νοητικὸν L *Ph^l* (καὶ] ἢ καὶ L) **27** (ἐστὶν W) κινῶν] ἐκείνων E, corr in κινῶν E³ : κινῶν νοῦς *Si^lA* νοεῖ **b** *So 141, 4* : θεωρεῖ **a** *Th 118, 9* πρακτόν **o**—W *Th 118, 9* *So 141, 4C* : πρακτικόν [corr in πρακτόν] W *So 141, 4AB* **28** (διωκτοῦ καὶ φευκτοῦ U) ἀεὶ δὲ ἡ **b**—W, corr E³ : ἡ δὲ LW *So 141, 6* *cf Th 118, 9* : εἰ δὲ E **29** $τι_1$ **b**—X : om **a** X *So 141, 6* **30** (κελεύῃ X) διώκειν ἢ φεύγειν **a** : φεύγειν ἢ διώκειν **b**

433a 3 (πράττειν E) ὁ **a** W *Th 118, 20* : om **b**—W **4** ὅλως] «ἄλλως» *Th 118, 22* (ὁ om L) τὴν **a** CSUV *Th 118, 22* *So 141, 21* : om CWX, ins W×X² **6** (οὐ μόνης τῆς W) **7** κινήσεως **o**—Cy [sed κιν- in ras X²] : αἰσθήσεως Cy **9** (δὲ om S) δύο ταῦτα **b** *So 141, 27* : ταῦτα δύο **a** : τὰ δύο ταῦτα *Si^l* *Ph^l* *Th 118, 27* (ἢ ὁ νοῦς U)

τις τὴν φαντασίαν τιθείη ὡς νόησίν τινα· πολλὰ γὰρ παρὰ τὴν ἐπιστήμην ἀκολουθοῦσι ταῖς φαντασίαις, καὶ ἐν τοῖς ἄλλοις ζῴοις οὐ νόησις οὐδὲ λογισμός ἐστιν, ἀλλὰ φαντασία. ἄμφω ἄρα ταῦτα κινητικὰ κατὰ τόπον, νοῦς καὶ ὄρεξις, νοῦς δὲ ὁ ἕνεκά του λογιζόμενος καὶ ὁ πρακτικός· διαφέρει δὲ τοῦ θεωρητικοῦ τῷ τέλει. καὶ ἡ ὄρεξις ἕνεκά του πᾶσα· οὗ γὰρ ἡ ὄρεξις, αὕτη ἀρχὴ τοῦ πρακτικοῦ νοῦ· τὸ δ' ἔσχατον ἀρχὴ τῆς πράξεως. ὥστε εὐλόγως ταῦτα δύο φαίνεται τὰ κινοῦντα ὄρεξις καὶ διάνοια πρακτική· τὸ ὀρεκτὸν γὰρ κινεῖ, καὶ διὰ τοῦτο ἡ διάνοια κινεῖ, ὅτι ἀρχὴ αὐτῆς ἐστὶ τὸ ὀρεκτόν. καὶ ἡ φαντασία δὲ ὅταν κινῇ, οὐ κινεῖ ἄνευ ὀρέξεως. ἓν δή τι τὸ κινοῦν τὸ ὀρεκτικόν. εἰ γὰρ δύο, νοῦς καὶ ὄρεξις, ἐκίνουν, κατὰ κοινὸν ἄν τι ἐκίνουν εἶδος. νῦν δὲ ὁ μὲν νοῦς οὐ φαίνεται κινῶν ἄνευ ὀρέξεως· ἡ γὰρ βούλησις ὄρεξις·

10 τιθείη o—W *Si^c 296,19 Th 118,28* : θείη W *Ph^c 583,30* (ante πολλὰ ins κατὰ X^2) **11** (ταῖς] ἐν ταῖς L) (ante καὶ eras οι E) ἄλλοις o—W *Ph^c 584,16* : ἀλόγοις W *Si^c 296,28 Th 118,29* **12** οὐ UWy *Si^c 296,28 Ph^c 584,16* : ἡ CSVX, η E, sed eras, in ras οὐ E^3 : οὐχ ἡ L οὐδὲ LSUWy, [eras δὲ] V *Si^c 296,29 Ph^c 584,16* : οὐ E [ins δὲ E^3], X : ὁ C [sscr οὐ C^x] **13** κατὰ τόπον ante νοῦς o—SV *Si^c 296,30* : post ὄρεξις SV **14** (δὲ ὁ in ras E^x) **15** (θεωρικοῦ E) οὗ plerique *Si^c 297, 9 . 10 Ph^l ^{c}585, 5* : οὐ LX [corr οὗ X^3] **16** (αὐτὴ CX) ἔσχατον o *Ph^l* : ἔσχατον τούτου *Si^c 297,14* **17** ταῦτα δύο a W : δύο ταῦτα b—W *Si^l Th 119,2* (φαίνονται y) (τὰ ins E^1 : om y) **18** πρακτική o—CX *Si^l* : ἡ πρακτική CX ὀρεκτὸν E *Th 119,4* : ὀρεκτικὸν o—E *Si^l ^{c}297,28* **19** αὐτῆς ἐστι o—X : ἐστιν αὐτῆς X : ταύτης ἐστὶν *Si^l* **20** ὀρεκτόν a V *Th 119,5* : ὀρεκτικόν b—V *Si^l* ἡ a CWXy *Si^l* : om SUV οὐ κινεῖ o—E *Si^l* : ουκη E, corr οὐ κινεῖ E^2 **21** (ἓν] ἂν S) (τι τοίνυν τὸ W) τὸ$_2$ o—LW *Si^l* : καὶ W : κατὰ τὸ L *Ph^l*, ins κατὰ X^3 ὀρεκτικὸν b *Si^l 298,31* : ὀρεκτὸν [sscr ικ E^2] a *Ph^l Si^v 297,32 ; 298,30* **22** (ὄρεξις corr vid ex ὀρέξεις X) (ἐκίνει X) ἐκίνουν εἶδος a : εἶδος ἐκίνουν b *Si^c 298,4* **23** (κινὸν S)

ὅταν δὲ κατὰ τὸν λογισμὸν κινῆται, καὶ κατὰ βούλησιν κινεῖται. ἡ δ' ὄρεξις κινεῖ καὶ παρὰ τὸν λογισμόν· ἡ γὰρ ἐπιθυμία ὄρεξίς τίς ἐστιν. νοῦς μὲν οὖν πᾶς ὀρθός ἐστιν· ὄρεξις δὲ καὶ φαντασία καὶ ὀρθὴ καὶ οὐκ ὀρθή. διὸ ἀεὶ κινεῖ μὲν τὸ ὀρεκτόν, ἀλλὰ τοῦτ' ἐστὶν ἢ τὸ ἀγαθὸν ἢ τὸ φαινόμενον ἀγαθόν· οὐ πᾶν δέ, ἀλλὰ τὸ πρακτὸν ἀγαθόν. πρακτὸν δ' ἐστὶ τὸ ἐνδεχόμενον καὶ ἄλλως ἔχειν.

ὅτι μὲν οὖν ἡ τοιαύτη δύναμις κινεῖ τῆς ψυχῆς ἡ καλουμένη ὄρεξις, φανερόν. τοῖς δὲ
433b διαιροῦσι τὰ μέρη τῆς ψυχῆς, ἐὰν κατὰ τὰς δυνάμεις διαιρῶσι καὶ χωρίζωσι, πάμπολλα γίνεται, θρεπτικόν, αἰσθητικόν, νοητικόν, βουλευτικόν, ἔτι ὀρεκτικόν· ταῦτα γὰρ πλέον διαφέρει ἀλλήλων ἢ τὸ ἐπιθυμητικὸν καὶ θυμικόν. ἐπεὶ δ' ὀρέξεις γίνονται ἐναντίαι ἀλλήλαις, τοῦτο δὲ συμβαίνει ὅταν ὁ λόγος καὶ αἱ ἐπιθυμίαι ἐναντίαι ὦσι, γίνεται δ' ἐν τοῖς χρόνου αἴσθησιν ἔχουσιν (ὁ μὲν γὰρ νοῦς διὰ τὸ μέλλον ἀνθέλκειν κελεύει, ἡ δ' ἐπιθυμία διὰ τὸ ἤδη· φαί-

25 «κινεῖ καὶ» *cf Ph*ᵖ *585, 23 Th 119, 13:* κινεῖ **o**—y : κινεῖται y **26** (οὖν] γὰρ W) ἐστιν **b** : om [ins E²] **a** *cf Th 119, 17* **27** (διὸ καὶ ἀεὶ W) κινεῖ μὲν **a** *Th 119, 19 :* μὲν κινεῖ **b** (ὀρεκτικόν X) **29** (πρακτὸν₁] πρακτικὸν L) **31** (κινεῖ sscr W², κοινὴ W)

433b **2** (γίνεται] γάρ ἐστι C) **3** νοητικόν **a** SUVW *Si*ᶜ *299, 14 cf Th 119, 32 :* ὀρεκτικόν, νοητικόν C [sed del ὀρ.], Xy ἔτι ὀρεκτικόν **a** *Si*ᶜ *299, 14 :* ἔτι δὲ ὀρεκτικόν SUVW, corr Cˣ, ins δὲ E² *cf Th 119, 33 :* ἔτι δὲ ὀρεκτὸν CX : om y **4** πλέον E : πλεῖον LSUV : πλείω CWXy *Th 119, 34* τὸ **b** : om **a** **5** ἐπεὶ δ' **o** *Ph*ˡ *So 143, 10 :* ἐπειδὴ *Si*ˡ ᶜ*299, 31 ; 300, 15* ὀρέξεις **o**—U *Ph*ˡ *So 143, 10 :* αἱ ὀρέξεις U *Si*ˡ ἐναντίαι **a** CWXy *Si*ˡ *Ph*ˡ *cf* ᵖ*586, 21 . 23 So 143, 10 :* καὶ ἐναντίαι SUV *Th 120, 8* **6** ὁ **b** : ὅ τε **a** αἱ EW : om **o**—EW (γίγνονται L) **8** μέλλον **o**—CX, corr Cˣ, sscr X³ *Th 120, 22 So 143, 13 :* μέλλειν CX (ηκελευει E, del η E³) (ἤδη in ἡδύ E³)

νεται γὰρ τὸ ἤδη ἡδὺ καὶ ἁπλῶς ἡδὺ καὶ ἀγαθὸν ἁπλῶς, διὰ τὸ μὴ ὁρᾶν τὸ μέλλον), εἴδει μὲν ἓν ἂν εἴη τὸ κινοῦν τὸ ὀρεκτικόν, ᾗ ὀρεκτικόν (πρῶτον δὲ πάντων τὸ ὀρεκτόν, τοῦτο γὰρ κινεῖ οὐ κινούμενον τῷ νοηθῆναι ἢ φαντασθῆναι), ἀριθμῷ δὲ πλείω τὰ κινοῦντα. ἐπειδὴ δ' ἐστὶ τρία, ἓν μὲν τὸ κινοῦν, δεύτερον δ' ᾧ κινεῖ, ἔτι τρίτον τὸ κινούμενον· τὸ δὲ κινοῦν διττόν, τὸ μὲν ἀκίνητον, τὸ δὲ κινοῦν καὶ κινούμενον· ἔστι δὲ τὸ μὲν ἀκίνητον τὸ πρακτὸν ἀγαθόν, τὸ δὲ κινοῦν καὶ κινούμενον τὸ ὀρεκτικόν (κινεῖται γὰρ τὸ ὀρεγόμενον ᾗ ὀρέγεται, καὶ ἡ ὄρεξις κίνησίς τίς ἐστιν ἢ ἐνέργεια), τὸ δὲ κινούμενον τὸ ζῷον· ᾧ δὲ κινεῖ ὀργάνῳ ἡ ὄρεξις, ἤδη τοῦτο σωματικόν ἐστιν· διὸ ἐν τοῖς κοινοῖς σώματος καὶ ψυχῆς ἔργοις θεωρητέον περὶ αὐτοῦ. νῦν δὲ ὡς ἐν κεφαλαίῳ εἰπεῖν, τὸ κινοῦν ὀργανικῶς

9 (ἤδη om E, ins E[3]) (καὶ ἁπλῶς ἡδὺ om W) ἀγαθὸν ἁπλῶς **o**—y : ἁπλῶς ἀγαθὸν y *Th 120, 24 So 143, 15* **10** μὲν **a** SU *Si[l] [c]300, 20* : μὲν οὖν CVWXy [ins οὖν] E[2] *Ph[l] Th 120, 24* ἓν ἂν εἴη **o**—SU : ἂν εἴη ἓν SU *Ph[l]* : ἂν ἓν εἴη *Si[l] [c]300, 21* (κινεῖ S) **11** (ῇ] ἡ τὸ S : eras 2 litt post ῇ V) (ᾗ ὀρεκτικὸν om *Si[l]A*) ὀρεκτόν **o**—SV, corr V[2] *Si[l] [c]300, 35 Ph[l] cf Th 120, 25* : ὀρεκτικόν S, [eras -ικον] V **13** ἐπεὶ δὲ **a** CWXy *Si[l] Ph[l]* : ἐπειδὴ δὲ SUV : ἐπειδὴ *Ph[c] 590, 38* : ἐπειδὴ vel ἐπειδὴ δὲ *Alex ap Ph 590, 39* et *Plutarchus ap Ph 591, 1* μὲν **o**—SU *Si[l] Ph[l] [c]590, 38* : μὲν οὖν S, [eras οὖν] U **14** κινεῖ **o** *Si[l] Th 120, 28* : κινεῖται *Ph[l] [p]587, 26 [c]590, 38* ἔτι τρίτον **a** S : καὶ ἔτι τρίτον CXy *Ph[c] 590, 39* : τρίτον UVW *Si[l]* : τρίτον δὲ *Ph[l]* **15** (κινητὸν L) κινοῦν καὶ κινούμενον LCUVWX : κινεῖ καὶ κινούμενον S : κινούμενον καὶ κινοῦν y *Th 120, 30* : κινούμενον E *Si[l] [c]300, 37 Plut ap Ph591, 4* **16** τὸ$_3$ CWXy *Si[l] Ph[c] 591, 9* : om **a** SUV **17** (ὀρεκτὸν E[3] ex ὀρεκτικὸν) ὀρεγόμενον CXy : κινούμενον **a** SUVW *Si[p] 302, 35* : κινοῦν *Ph[c] 591, 12. 13* ᾗ om CX : γὰρ ins C[x] **18** ὄρεξις κίνησις **b** *Si[p] 302, 37* : κίνησις ὄρεξις **a** *Th 120, 31* : ὄρεξις ἡ κίνησις *Ph[c] 591, 16* τίς **a** SUV *Si[p] 302, 37* : om CWXy *Ph[c] 591, 16* ᾗ SVX *Si[c] 303, 1* : ἡ E : ἢ LCUWy E[3] *Si[v] 303, 2* : «καὶ» *Th 120, 32* **19** ἡ om SV διὸ καὶ ἐν *Ph[l]* **21** αὐτοῦ CX *Si[p] 303, 15 Th 121, 3 So 143, 35* : αὐτῶν **o**—CX *Ph[l] [p]591, 22* (ὡς om W) (τὸ κινοῦν ... **24** τὸ δὲ om y)

ὅπου ἀρχὴ καὶ τελευτὴ τὸ αὐτό, οἷον ὁ γιγγλυμός· ἐνταῦθα γὰρ τὸ κυρτὸν καὶ τὸ κοῖλον τὸ μὲν τελευτὴ τὸ δ' ἀρχή· διὸ τὸ μὲν ἠρεμεῖ τὸ δὲ κινεῖται, λόγῳ μὲν ἕτερα ὄντα, μεγέθει δ' ἀχώριστα· πάντα γὰρ ὤσει καὶ ἕλξει κινεῖται. διὸ δεῖ ὥσπερ ἐν κύκλῳ μένειν τι, καὶ ἐντεῦθεν ἄρχεσθαι τὴν κίνησιν. ὅλως μὲν οὖν, ὥσπερ εἴρηται, ᾗ ὀρεκτικὸν τὸ ζῷον, ταύτῃ αὑτοῦ κινητικόν· ὀρεκτικὸν δὲ οὐκ ἄνευ φαντασίας· φαντασία δὲ πᾶσα ἢ λογιστικὴ ἢ αἰσθητική. ταύτης μὲν οὖν καὶ τὰ ἄλλα ζῷα μετέχει.

Σκεπτέον δὲ καὶ περὶ τῶν ἀτελῶν, τί τὸ κινοῦν ἐστίν, **11**
434ᵃ οἷς ἁφὴ μόνον ὑπάρχει αἴσθησις, πότερον ἐνδέχεται φαντασίαν ὑπάρχειν τούτοις, ἢ οὔ, καὶ ἐπιθυμίαν. φαίνεται γὰρ λύπη καὶ ἡδονὴ ἐνοῦσα. εἰ δὲ ταῦτα, καὶ ἐπιθυμίαν ἀνάγκη. φαντασία δὲ πῶς ἂν ἐνείη; ἢ ὥσπερ καὶ κινεῖται ἀορίστως, καὶ ταῦτ' ἔνεστι μέν, ἀορίστως δ' ἔνεστιν. ἡ μὲν οὖν αἰσθητικὴ

22 ὅπου **o**—EW *Si*[l] : ὅπου ἂν EW *So 143, 36*   γιγγλυμός LCX *Si*[p] *304, 7 . 9 . 15* *Ph*[p] *587, 30* *Th 121, 12 . 13* : γινγλυμμος E, eras alt. μ, sscr γ E[3] : γιγγλυσμός UW, [σ eras] V *Th 121, 12 . 13C* *So 143, 37* : γιγλυσμός S   **23** τὸ₂ CWX *So 143, 38* : om **a** SUVy, ins E[3]   (post μὲν ins γὰρ E[2])   **25** (ἕλξιν E, corr in -ει E[2])   (post ἕλξει add καὶ κινήσει C, sed exp)   **26** (δεῖ] δὴ y) (περ om CX)   (ἐνταῦθα y)   **28** αὑτοῦ **b** *Th 121, 19* [ἑαυτοῦ] : δ' αὐτοῦ **a** *So 144, 2*   **29** λογιστικὴ **o**—y *So 144, 3* : λογικὴ y *Th 121, 20*   **31** δὲ καὶ **o**—E *Si*[l] : δὲ E : καὶ *So 144, 29*   ἀτελῶν **a** SUVW, corr X[2] *Si*[l] [p]*306, 29* *Th 122, 5* *So 144, 29* : ἄλλων CX : ἁπλῶν y (ἐστιν om W)

434ᵃ **1** αἴσθησις **b** : ἢ αἴσθησις **a**, corr ἡ E[3]   **3** (λύπην et ἡδονὴν corr E[2])   ἐνοῦσα **o**—E *Th 122, 7* *So 144, 34* : ἔχουσα E **4** ἐνείη ECXy : εἴη LSUVW   ἢ LCUWXy, ins E[2] : om ESV **5** καὶ [ἢ W] ... ἀορίστως **a** CWXy *Ph*[c] *592, 25* : om SUV, suppl mg U[2]   ταῦτ' CWXy : ταύτας vel ταύταις E [eras ς vel ις] : τούτοις L corr X[2] *cf* *Ph*[p] *592, 26* *So 144, 37*   (δ' ἔνεστιν eras ut v U, suppl mg U[2])

φαντασία, ὥσπερ εἴρηται, καὶ ἐν τοῖς ἄλλοις ζῴοις ὑπάρχει, ἡ δὲ βουλευτικὴ ἐν τοῖς λογιστικοῖς· πότερον γὰρ πράξει τόδε ἢ τόδε, λογισμοῦ ἤδη ἐστὶν ἔργον· καὶ ἀνάγκη ἑνὶ μετρεῖν· τὸ μεῖζον γὰρ διώκει. ὥστε δύναται ἓν ἐκ πλειόνων φαντασμάτων ποιεῖν. καὶ αἴτιον τοῦτο τοῦ δόξαν μὴ δοκεῖν ἔχειν, ὅτι τὴν ἐκ συλλογισμοῦ οὐκ ἔχει, αὕτη δὲ ἐκείνην. διὸ τὸ βουλευτικὸν οὐκ ἔχει ἡ ὄρεξις· νικᾷ δ' ἐνίοτε καὶ κινεῖ τὴν βούλησιν, ότὲ δ' ἐκείνη ταύτην, ὥσπερ σφαῖρα, ἣ ὄρεξις τὴν ὄρεξιν, ὅταν ἀκρασία γένηται (φύσει δὲ ἀεὶ ἡ ἄνω ἀρχικωτέρα καὶ κινεῖ)· ὥστε τρεῖς φορὰς ἤδη κινεῖσθαι. τὸ δ' ἐπιστημονικὸν οὐ κινεῖται, ἀλλὰ μένει. ἐπεὶ δ' ἡ μὲν καθόλου ὑπόληψις καὶ λόγος, ἡ δὲ τοῦ καθ' ἕκαστα (ἡ μὲν γὰρ λέγει ὅτι δεῖ τὸν τοιοῦτον τὸ τοιόνδε πράττειν, ἡ δὲ ὅτι τόδε τοίνυν τοιόνδε, κἀγὼ δὲ τοιόσδε), ἢ δὴ αὕτη κινεῖ ἡ δόξα, οὐχ ἡ καθόλου, ἢ ἄμφω, ἀλλ' ἡ μὲν ἠρεμοῦσα μᾶλλον, ἡ δ' οὔ.

6 ἄλλοις **a** SUV Si^l: ἀλόγοις CWXy *cf* Ph^p *593, 5* *Th 121, 21* **7** λογιστικοῖς LS, corr E^3 Si^l: λογιστοις ut v E: λογικοῖς **b**—S (γὰρ] δὲ W) **8** (ἐστὶν ante ἤδη L: post ἔργον y) (ἀνάγκη ἀεὶ μετρεῖν ἑνὶ W) **9** ἓν om Ph^c *592, 34. 36Dt* (πλεόνων E) **10** (τούτου τὸ corr E^3, τὸ corr V^2) **11** (τὸν X) **13** τὴν βούλησιν **a** CUXy: om SVW (ἐκείνη in ἐκίνει corr X^1 ut v) (σφαῖραν y) ἣ scripsi: ἤ E: ἡ **o**—E corr E^3 **14** γένηται **b**, corr E^2: ἐνῇ **a** Ph^l (ἀεὶ om y) **15** ὥστε **a** UXy: ὡς CSVW **16** κινεῖται **a** SUVy Si^v *311, 8* Ph^l: κινεῖ CWX, γρ. U Si^l **17** καθόλου **o**—y Ph^l: τοῦ καθόλου y *Th 122, 15* (ὁ ante λόγος ins X^1) ἕκαστα **b**—y corr E^3 Si^l Ph^l: ἕκαστον **a** y *Th 122, 15* **18** ὅτι δεῖ τὸν τοιοῦτον τὸ [eras τὸ E] **a** VW, [om τὸ] y Ph^c *594, 5*: ὅτι δεῖ τοῦτον τὸ U: ὅτι τοῦτον δεῖ τὸ S: ὅτι τοῦτον X: τοῦτον C: ὅτι δεῖ τὸ corr C^2 Si^l **19** τόδε τοίνυν Si^l ^{c}*314, 33*: τόδε τὸ νῦν [τὸ eras] E: τόδε νῦν CWXy: τόδε LSUV (τοιόνδε νῦν W) κἀγὼ δὲ **o**—L Ph^c *594, 7*: κάτω δὲ L: κἀγὼ Si^l ^{c}*314, 34* ἢ δὴ Ph^c *594, 11Dt*: ἤδη **o**—y Si^l ^{c}*314, 34*: καὶ y (αὐτὴ CX) **20** οὐχ ἡ **o**—CS corr C^x Si^l Ph^c *594, 12*: οὐχὶ CS

Τὴν μὲν οὖν θρεπτικὴν ψυχὴν ἀνάγκη πᾶν ἔχειν ὅτι **12**
περ ἂν ζῇ καὶ ψυχὴν ἔχει ἀπὸ γενέσεως ἕως φθορᾶς· ἀνάγκη γὰρ τὸ γενόμενον αὔξησιν ἔχειν καὶ ἀκμὴν καὶ φθίσιν, ταῦτα δ' ἄνευ τροφῆς ἀδύνατον· ἀνάγκη ἄρα ἐνεῖναι τὴν θρεπτικὴν δύναμιν ἐν πᾶσι τοῖς φυομένοις καὶ φθίνουσιν. αἴσθησιν δ' οὐκ ἀναγκαῖον ἐν ἅπασι τοῖς ζῶσιν· οὔτε γὰρ ὅσων τὸ σῶμα ἁπλοῦν, ἐνδέχεται ἁφὴν ἔχειν, [οὔτε ἄνευ ταύτης οἷόν τε οὐθὲν εἶναι ζῷον] οὔτε ὅσα μὴ δεκτικὰ τῶν εἰδῶν ἄνευ τῆς ὕλης. τὸ δὲ ζῷον ἀναγκαῖον αἴσθησιν ἔχειν, εἰ μηθὲν μάτην ποιεῖ ἡ φύσις, ἕνεκά του γὰρ πάντα ὑπάρχει τὰ φύσει, ἢ συμπτώματα ἔσται τῶν ἕνεκά του. εἰ οὖν πᾶν σῶμα πορευτικόν, μὴ ἔχον αἴσθησιν, φθείροιτο ἂν καὶ
434b εἰς τέλος οὐκ ἂν ἔλθοι, ὅ ἐστι φύσεως ἔργον· πῶς γὰρ θρέψεται; τοῖς μὲν γὰρ μονίμοις ὑπάρχει τὸ ὅθεν πεφύκασιν. οὐχ οἷόν τε δὲ σῶμα ἔχειν μὲν ψυχὴν καὶ νοῦν κριτικόν, αἴ-

22 (ὅπερ W) **23** ἔχει **a** C [corr ex ἔχῃ?], SUV *Ph*[l] [c]*598, 9*: ἔχοι W: ἔχῃ y, X [η in ras, eras οι?], corr V[2] *Si*[l] *A* (ἀπὸ γενέσεως om W) ἕως CXy *Si*[c] *316, 31*: ἕως καὶ *Si*[l] *A*: καὶ SV: καὶ μέχρι **a** W, [ins μέχρι] U *Ph*[l]: «ἄχρι» *Th 122, 23* **25** (ἓν εἶναι L) **27** ζῶσι **o** *Si*[l] [c]*320, 38 Ph*[c] *598, 17*: ζῴοις *Ph*[v] *598, 18* **28** ὅσων **b** [eras et corr in ὃν X] *Si*[c] *320, 38 cf Th 122, 29 So 146, 24*: ὧν **a** *Ph*[c] *598, 22* ἐνδέχεται ἁφὴν **a** CWXy *Si*[c] *320, 38 Ph*[c] *598, 22*: ἁφὴν ἐνδέχεται SUV οὔτε ... **29** ζῷον del To **29** οἷόν τε οὐθὲν **o**—LW *Si*[c] *318, 22*: οὐθὲν οἷόν τε LW ὅσα μὴ **o**—CX *Si*[l] [c]*318, 24 Ph*[l] *So 146, 37*: μηδ' ὅσα CX (τῶν εἰδῶν om y) **30** (ἔχειν αἴσθησιν W) **31** (φύσις e ψυχὴ corr X[x]: sscr ψυχή C[3]) (γὰρ om X) πάντα SUW: ἅπαντα LCVXy *Si*[l] ὑπάρχει **b** *Si*[l]: ὑπάρξει L, corr X[x] [eras χ] **32** (τὰ] τῇ V)

434b 2 τὸ L: τοῦτο CSUy: ταῦτα VWX ὅθεν LW *Ph*[c] *599, 19 cf Si*[p] *319, 30*: ἔθι CUy: ὅτι SVX **3** (μὲν τὴν ψ. L)

---

31 εἰ μη- exit E

σθησιν δὲ μὴ ἔχειν, μὴ μόνιμον ὄν, γενητὸν δέ. [ἀλλὰ μὴν οὐδὲ ἀγένητον·] διὰ τί γὰρ ἕξει; ἢ γὰρ τῇ ψυχῇ βέλτιον ἢ τῷ σώματι. νῦν δ' οὐδέτερον· ἡ μὲν γὰρ οὐ μᾶλλον νοήσει, τὸ δ' οὐθὲν ἔσται μᾶλλον δι' ἐκεῖνο. οὐθὲν ἄρα ἔχει ψυχὴν σῶμα μὴ μόνιμον ἄνευ αἰσθήσεως.

ἀλλὰ μὴν εἴγε αἴσθησιν ἔχει, ἀνάγκη τὸ σῶμα εἶναι ἢ ἁπλοῦν ἢ μεικτόν. οὐχ οἷόν τε δὲ ἁπλοῦν· ἁφὴν γὰρ οὐχ ἕξει, ἔστι δὲ ἀνάγκη ταύτην ἔχειν. τοῦτο δὲ ἐκ τῶνδε δῆλον. ἐπεὶ γὰρ τὸ ζῷον σῶμα ἔμψυχόν ἐστι, σῶμα δὲ ἅπαν ἁπτόν, ἁπτὸν δὲ τὸ αἰσθητὸν ἁφῇ, ἀνάγκη καὶ τὸ τοῦ ζῴου σῶμα ἁπτικὸν εἶναι, εἰ μέλλει σῴζεσθαι τὸ ζῷον. αἱ γὰρ ἄλλαι αἰσθήσεις δι' ἑτέρων αἰσθάνονται, οἷον ὄσφρησις ὄψις ἀκοή· ἁπτόμενον δέ, εἰ μὴ ἕξει αἴσθησιν, οὐ δυνήσεται τὰ μὲν φεύγειν τὰ δὲ λαβεῖν. εἰ δὲ τοῦτο, ἀδύνατον ἔσται σῴζεσθαι τὸ ζῷον. διὸ καὶ ἡ γεῦσίς ἐστιν ὥσπερ ἁφή τις· τρο-

4 μόνιμον ὄν LUWXy : μόνιμον δὲ ὄν [eras δὲ] C : μόνον SV : μόνιμον *Ph*^{l}*D*   γενητὸν et 5 ἀγένητον LWX *Si*^{c} *320, 25 . 34 . 39* *Ph*$^{l p}$*599, 28 . 32 D* *Th 123, 20 . 24* ut v *Alex ap Si 320, 34* *Plutarchus ibid 320, 29* : γέννητον et ἀγέννητον C [sed ν eras], SUVX^{2} : γένητον ἢ ἀγέννητον y : γεννητὸν *Si*^{l} ἀλλὰ μὴν . . . 5 ἀγένητον L **b** *Alex Plut ap Si 320, 29 . 34* *Si*^{p} *320, 28* *Ph*^{p} *599, 32* *Th 123, 20 . 24* *So 147, 22* : om *Si*^{p} *320, 28* del To   5 ἕξει LSU *Alex ap Ph 596, 14* *Ph*^{c} *595, 37* cf *Th 123, 26* : οὐχ ἕξει VWy, [exp οὐχ] C, [eras οὐχ] X, γρ. U^{2} *Plut ap Ph 596, 16* (ἢ γὰρ et 6 ἢ τῷ sscr bis οὔτε C^{x} [«οὔτε κατὰ Πλούταρχον» mg C^{x}])   6 (δ' om S)   7 τὸ **b**—W *Th 123, 29* : τῷ LW (οὐ μᾶλλον οὐδὲν ἔσται y)   (δι'] δ' V)   8 (γε om *Si*^{l}*A*) 9 ἔχει CWXy *Ph*^{l} ^{c}*603, 15* . ἔχοι L *Si*^{l} : om SUV   (ἀναγκαῖον W) εἶναι L **b**—W *Ph*^{l} ^{c}*603, 16* : post μεικτὸν W *Si*^{l} 11 ἔχειν LSUVWX *Ph*^{l} ^{c}*603, 18* : εἶναι Cy   14 μέλλει LSUVXy : μέλλοι CW *Th 124, 4*   17 (ἔστι X)   18 τις LCVWX *Si*^{l} ^{c}*324, 9* *Ph*^{l} : τῆς SUy : om *Th 124, 15*

φῆς γάρ ἐστιν, ἡ δὲ τροφὴ τὸ σῶμα τὸ ἁπτόν. ψόφος δὲ καὶ χρῶμα καὶ ὀσμὴ οὐ τρέφει, οὐδὲ ποιεῖ οὔτ' αὔξησιν οὔτε φθίσιν. ὥστε καὶ τὴν γεῦσιν ἀνάγκη ἁφὴν εἶναί τινα, διὰ τὸ τοῦ ἁπτοῦ καὶ θρεπτικοῦ αἴσθησιν εἶναι· αὗται μὲν οὖν ἀναγκαῖαι τῷ ζῴῳ, καὶ φανερὸν ὅτι οὐχ οἷόν τε ἄνευ ἁφῆς εἶναι ζῷον. αἱ δὲ ἄλλαι τοῦ τε εὖ ἕνεκα καὶ γένει ζῴων ἤδη οὐ τῷ τυχόντι, ἀλλὰ τισίν, οἷον τῷ πορευτικῷ ἀνάγκη ὑπάρχειν· εἰ γὰρ μέλλει σῴζεσθαι, οὐ μόνον δεῖ ἁπτόμενον αἰσθάνεσθαι ἀλλὰ καὶ ἄποθεν. τοῦτο δ' ἂν εἴη, εἰ διὰ τοῦ μεταξὺ αἰσθητικὸν εἴη τῷ ἐκεῖνο μὲν ὑπὸ τοῦ αἰσθητοῦ πάσχειν καὶ κινεῖσθαι, αὐτὸ δ' ὑπ' ἐκείνου. ὥσπερ γὰρ τὸ κινοῦν κατὰ τόπον μέχρι του μεταβάλλειν ποιεῖ, καὶ τὸ ὦσαν ἕτερον ποιεῖ ὥστε ὠθεῖν, καὶ ἔστι διὰ μέσου ἡ κίνησις, καὶ τὸ μὲν πρῶτον κινεῖ καὶ ὠθεῖ οὐκ ὠθούμενον, τὸ δ' ἔσχατον μόνον ὠθεῖται οὐκ ὦσαν, τὸ δὲ μέσον ἄμφω,
435 a πολλὰ δὲ τὰ μέσα, οὕτω καὶ ἐπ' ἀλλοιώσεως, πλὴν ὅτι μένοντος ἐν τῷ αὐτῷ τόπῳ ἀλλοιοῖ, οἷον εἰ εἰς κηρὸν βάψειέ τις,

19 ψόφος LCSVX *Th 124, 16* : ψόφοι UWy **20** (χρώματα W) (οὔτ' om W) **21** (ἀναγκαῖον W) (τινα εἶναι y) **24** (εἶναι τὸ ζ. L) τε **b** *Si*[l] : om L *Th 124, 20* **25** (τῷ$_2$] τὸ S) **26** (ἀναγκαῖον W) μέλλοι W *cf Si*[p] *324, 33 Th 124, 22* οὐ LSVWy : οὐδὲν CUX μόνον LSUVWy : om CX **27** αἰσθάνεσθαι LSUVy sscr W *Th 124, 22 So 149, 2* : σώζεσθαι CWX **29** (αἰσθητικοῦ y) ὥσπερ LSUVWy *Si*[c] *325, 21 Ph*[l] : ὡς CX **30** (γὰρ om y) του LCUWXy *Ph*[l] *Th 124, 30 So 149, 5* : τούτου SV : τοῦ τοῦτο V[2] (μεταβαλεῖν corr V[2]) **32** καὶ τὸ μὲν CWXy : καὶ δὴ τὸ μὲν V : καὶ μὲν δὴ τὸ SU : τὸ δὲ L κινεῖ καὶ Ly *So 149, 7* : κινοῦν **b**—y **33** ὠθοῦν X, γρ. mg C

435 a 1 τὰ L *Ph*[c] *605, 3. 6 cf Th 124, 27* : om **b** καὶ W *Si*[c] *325, 35 Ph*[p] *604, 29 Th 124, 28 So 149, 9* : om L **b**—W (ὅτι sscr ε V) μένοντος L **b**—y *Ph*[c] *605, 6 Th 124, 28* : μένον W, [sscr τ] y **2** ἀλλοιοῖ LCVWXy *Ph*[c] *605, 7 Th 124, 28* : ἀλλ' S, ut v U [sed corr in ἀλλοιοῖ] (εἰ om S)

μέχρι τούτου ἐκινήθη, ἕως ἔβαψεν· λίθος δὲ οὐδέν, ἀλλ' ὕδωρ μέχρι πόρρω· ὁ δ' ἀὴρ ἐπὶ πλεῖστον κινεῖται καὶ ποιεῖ καὶ πάσχει, ἐὰν μένῃ καὶ εἷς ᾖ. διὸ καὶ περὶ ἀνακλάσεως βέλτιον ἢ τὴν ὄψιν ἐξιοῦσαν ἀνακλᾶσθαι, τὸν ἀέρα πάσχειν ὑπὸ τοῦ σχήματος καὶ χρώματος, μέχρι περ οὗ ἂν ᾖ εἷς. ἐπὶ δὲ τοῦ λείου ἐστὶν εἷς· διὸ πάλιν οὗτος τὴν ὄψιν κινεῖ, ὥσπερ ἂν εἰ τὸ ἐν τῷ κηρῷ σημεῖον διεδίδοτο μέχρι τοῦ πέρατος.

13 Ὅτι δ' οὐχ οἷόν τε ἁπλοῦν εἶναι τὸ τοῦ ζῴου σῶμα, φανερόν, λέγω δ' οἷον πύρινον ἢ ἀέρινον. ἄνευ μὲν γὰρ ἁφῆς οὐδεμίαν ἐνδέχεται ἄλλην αἴσθησιν ἔχειν· τὸ γὰρ σῶμα ἁπτικὸν τὸ ἔμψυχον πᾶν, ὥσπερ εἴρηται. τὰ δὲ ἄλλα ἔξω γῆς αἰσθητήρια μὲν ἂν γένοιτο, πάντα δὲ τῷ δι' ἑτέρου αἰσθάνεσθαι ποιεῖ τὴν αἴσθησιν καὶ διὰ τῶν μεταξύ. ἡ δ' ἁφὴ τῷ αὐτῶν ἅπτεσθαί ἐστιν, διὸ καὶ τοὔνομα τοῦτο ἔχει. καίτοι καὶ τὰ ἄλλα αἰσθητήρια ἁφῇ αἰσθάνεται, ἀλλὰ δι' ἑτέρου· αὕτη δὲ δοκεῖ μόνη δι' αὑτῆς. ὥστε

3 τούτου LSVWy *Ph*[l] *So 149, 20* : τοῦ CUX *Th 124, 30* (ἕως οὗ ἔβ. V) **4** (πλεῖον W) **5** μένῃ L *So 149, 23* : μείνῃ **b** *Ph*[p] *605, 17. 21 Th 124, 34* **6** ἀνακλᾶσθαι LW *Si*[p] *605, 27 ; 606, 2 Th 124, 35 So 149, 25* : κλᾶσθαι **b**—W *Ph*[c] *605, 23* [ἀνα- t] **7** (τοῦ χρώματος W) οὗ ἂν **b** *So 149, 26* : ἂν οὗ L **8** ᾖ εἷς LCWX *So 149, 26* : εἷς ᾖ SUVy λείου LCSUVW : τελείου Xy διὸ **b** *Th 124, 37* : διότι L (πάλιν] «πάλιν καὶ W» Bekker, legi non possunt : om L) **9** κινεῖ LSUVWy : ἐκίνει CX (εἰ τὸ ἐν om y lacuna relicta) (μέχρι καὶ τοῦ W) **11** (ἁπλοῦν εἶναι post σῶμα L) **12** λέγομεν Uy **13** ἐνδέχεται ἄλλην LCWXy : ἄλλην ἐνδέχεται SUV αἴσθησιν ἔχειν **b** *So 148, 9* : ἔχειν αἴσθησιν L **14** ὥσπερ] ὡς Uy **15** αἰσθητήρια LCSUXy *Si*[p] *326, 25 So 148, 20* : αἰσθητικὰ VW μὲν LSUVWy *Si*[p] *326, 25 So 148, 20* : om CX πᾶν CX (τὸ X : τοῦ y) **16** (διὰ τοῦ μ. L) **17** (τῷ ἁπτῶν W : τῶν ἁπτῶν y) (ἅπτεσθαί τε ἐστιν X) **18** (αἰσθητικὰ y) **19** (ἑτέρων L)

τῶν μὲν τοιούτων στοιχείων οὐθὲν ἂν εἴη σῶμα τοῦ ζῴου. οὐδὲ δὴ γήϊνον. πάντων γὰρ ἡ ἁφὴ τῶν ἁπτῶν ἐστὶν ὥσπερ μεσότης, καὶ δεκτικὸν τὸ αἰσθητήριον οὐ μόνον ὅσαι διαφοραὶ γῆς εἰσίν, ἀλλὰ καὶ θερμοῦ καὶ ψυχροῦ καὶ τῶν ἄλλων ἁπτῶν ἁπάντων. καὶ διὰ τοῦτο τοῖς ὀστοῖς καὶ ταῖς θριξὶ καὶ τοῖς τοιούτοις μορίοις οὐκ αἰσθανόμεθα, ὅτι γῆς
435b ἐστίν. καὶ τὰ φυτὰ διὰ τοῦτο οὐδεμίαν ἔχει αἴσθησιν, ὅτι γῆς ἐστίν· ἄνευ δὲ ἁφῆς οὐδεμίαν οἷόν τε ἄλλην ὑπάρχειν, τοῦτο δὲ τὸ αἰσθητήριον οὐκ ἔστιν οὔτε γῆς οὔτε ἄλλου τῶν στοιχείων οὐδενός.

φανερὸν τοίνυν ὅτι ἀνάγκη μόνης ταύτης στερισκόμενα τῆς αἰσθήσεως τὰ ζῷα ἀποθνήσκειν· οὔτε γὰρ ταύτην ἔχειν οἷόν τε μὴ ζῷον, οὔτε ζῷον ὂν ἄλλην ἔχειν ἀνάγκη πλὴν ταύτην. καὶ διὰ τοῦτο τὰ μὲν ἄλλα αἰσθητὰ ταῖς ὑπερβολαῖς οὐ διαφθείρει τὸ ζῷον, οἷον χρῶμα καὶ ψόφος καὶ ὀσμή, ἀλλὰ μόνον τὰ αἰσθητήρια, ἂν μὴ κατὰ συμβεβηκός, οἷον ἂν ἅμα τῷ ψόφῳ ὦσις γένηται καὶ πληγή, καὶ ὑπὸ ὁραμάτων καὶ ὀσμῆς ἕτερα κινεῖται, ἃ τῇ ἁφῇ φθείρει. καὶ ὁ χυμὸς δὲ ᾗ ἅμα συμβαίνει ἁπτικὸν εἶναι, ταύτῃ φθείρει. ἡ δὲ τῶν ἁπτῶν ὑπερβολή,

22 αἰσθητήριον LCSUVX *Si^l* : αἰσθητικὸν Wy (ὅσαι] ὡς *Si^l A*) **23** (θερμοῦ καὶ om y) **24** (ἁπτῶν ἁπάντων ex ἁπάντων ἁπτῶν C^x) (ταῖς] τοῖς y) **25** γῆς LCUWXy *So 149, 26* : γῆ SV

435b 1 ἔχει αἴσθησιν **b**—W : αἴσθησιν ἔχει LW **2** γῆ SV ἐστίν LSWXy : εἰσίν CVX οἷόν τε ἄλλην LCSUX *So 148, 28* : ἄλλην οἷόν τε VWy **4** (ταύτης om *Ph^l D*) **5** αἰσθήσεως LSUVWy *Ph^l Th 125, 33* : αἰσθήσεως ἁφῆς CX ἀποθνήσκειν **b**—W *So 148, 30* : ἀποθνήσκει LW *Ph^l D* **6** (οἷόν τε ἔχειν y) ζῷον₁] ζῷον ὂν Wy ὂν LCWX *Ph^l* : om SUVy **8** διαφθείρει **b** : φέρει L : φθείρει *Ph^l cf Th 125, 37* **9** (καὶ₁ om y) ἂν μὴ] ἀλλὰ CX **10** (κατὰ] ἢ κατὰ L) (ἂν om W) **12** (ἃ] ὃς [?] y : om L) (δὲ om U) **13** (ἁπτικὸς y) (ταύτην y)

οἷον θερμῶν καὶ ψυχρῶν καὶ σκληρῶν, ἀναιρεῖ τὸ ζῷον· παντὸς μὲν γὰρ ὑπερβολὴ αἰσθητοῦ ἀναιρεῖ τὸ αἰσθητήριον, ὥστε καὶ τὸ ἁπτὸν τὴν ἁφήν, ταύτῃ δὲ ὥρισται τὸ ζῆν· ἄνευ γὰρ ἁφῆς δέδεικται ὅτι ἀδύνατον εἶναι ζῷον. διὸ ἡ τῶν ἁπτῶν ὑπερβολὴ οὐ μόνον τὸ αἰσθητήριον φθείρει, ἀλλὰ καὶ τὸ ζῷον, ὅτι ἀνάγκη μόνην ἔχειν ταύτην. τὰς δ' ἄλλας αἰσθήσεις ἔχει τὸ ζῷον, ὥσπερ εἴρηται, οὐ τοῦ εἶναι ἕνεκα ἀλλὰ τοῦ εὖ, οἷον ὄψιν, ἐπεὶ ἐν ἀέρι καὶ ὕδατι, ὅπως ὁρᾷ, ὅλως δ' ἐπεὶ ἐν διαφανεῖ, γεῦσιν δὲ διὰ τὸ ἡδὺ καὶ λυπηρόν, ἵνα αἰσθάνηται τὸ ἐν τροφῇ καὶ ἐπιθυμῇ καὶ κινῆται, ἀκοὴν δὲ ὅπως σημαίνηταί τι αὐτῷ, γλῶτταν δὲ ὅπως σημαίνῃ τι ἑτέρῳ.

14 (θερμὸν καὶ ψυχρὸν καὶ σκληρὸν L) **15** ὑπερβολὴ αἰσθητοῦ LW *Th 126, 10 So 148, 37* : αἰσθητοῦ ὑπερβολὴ **b**—W (αἰσθητήριον] αἰσθητικὸν y) **16** (καὶ om W) (τὸ ἁπτὸν corr in τοῦ ἁπτοῦ V¹) ὥρισται LWy *So 148, 38* : διώρισται CSUVX ζῆν SUy : ζῷον LCVWX **17** (εἶναι τὸ ζῷον C, τὸ eras) (διὸ καὶ ἡ V) **18** (τὰ αἰσθητήρια y) **19** (ταύτην ἔχειν W) **21** (ἐν om X) **22** ὅπως CWX *So 150, 36* : πῶς L *Ph¹D* : om SUVy (ὅλως] καὶ ὅλως X : ἄλλως C) (διαφανεῖ] διαφορᾷ y) γεῦσιν L **b**—y *Ph¹* : γεῦσις y δὲ LSUWy *Ph¹ So 150, 37* : τε CVX **23** (τὸ ἐν τροφῇ om W) (τρυφῇ y) **24** κινεῖται Uy σημαίνηταί τι Bhl : «πρὸς τὸ σημαίνεσθαί τι» *Th 126, 20* : σημαίνηται [om τι] L : σημαίνῃ τι **b** *Ph¹ So 151, 2* αὐτῷ LCUVy : αὑτῷ SWX (γλῶτταν δὲ] γλῶτταν δ' ὅδ' y : καὶ γλῶτταν L)

Codicis E fragmenta recensionis a vulgata diversae.

I.

(Fol. 185^{v}; cf cum 412^{a} 3—13)

185^{v} Ἐπεὶ δὲ τὰ παραδεδομένα περὶ ψυχῆς παρὰ τῶν ἄλλων, 412^{a} ἐφ' ὅσον ἕκαστος ἀπεφήνατο τῶν πρότερον, εἴρηται σχεδὸν νῦν ὥσπερ ἐξ ἀρχῆς πάλιν ἐπανίωμεν πειρώμενοι διορίσαι τί ἐστιν ἡ ψυχὴ καὶ τίς ἂν εἴη λόγος αὐτῆς κοινότατος. χωρίζομεν δὴ τὰς μὲν οὐσίας ἀπὸ τῶν ὄντων τῶν ἄλλων· τῆς δὲ οὐσίας τὸ μὲν ὡς ὕλην λέγεσθαι τίθεμεν, ὃ καθ' αὑτὸ ⟨μὲν οὐκ ἔστι τόδε τι, τὸ⟩ δὲ ἡ μορφή, τὸ δ' ἐκ τούτων. ἔστι δ' ἡ μὲν ὕλη δυνάμει, τὸ δ' εἶδος ἐντελέχεια, αὕτη δ' ὑπάρχει διχῶς, ἢ γὰρ ὡς ἡ ἐπιστήμη, ἢ ὡς τὸ θεωρεῖν, οὐσίαι δὲ μάλιστα δοκοῦσιν εἶναι τὰ σώματα καὶ τούτων τὰ φυσικά·

7 μὲν . . . τὸ suppl To

II.

(Fol. 1^{r} et ^{v}; cf cum 414^{b} 13—416^{a} 9)

1^{r} . . . δὲ χυμὸς ὥσπερ ἥδυσμα τούτοις ἐστίν· διόπερ ὅσα 414^{b} ἔχει τῶν ζῴων ἁφήν, πᾶσιν ὑπάρχει καὶ ὄρεξις. περὶ δὲ φαντασίας ἄδηλον καὶ ὕστερον ἐπισκεπτέον. ἐνίοις δέ ταῦτά τε ὑπάρχει καὶ τὸ κατὰ τόπον κινητικόν, τοῖς δ' ἔτι πρὸς

4 ετι corr in επι

τούτοις διάνοια καὶ νοῦς, οἷον ἀνθρώπῳ κἂν εἴ τι ἄλλο ζῷον ἕτερόν ἐστι τοιοῦτον ἢ καὶ τιμιώτερον. δῆλον οὖν ὡς ὁμοίως σχήματος καὶ ψυχῆς εἷς ἂν εἴη λόγος. οὔτε γὰρ ἐκεῖ σχῆμα παρὰ τρίγωνον ἐστι καὶ τὰ ἐφεξῆς, οὔτ' ἐνταῦθα ψυχὴ παρὰ τὰς εἰρημένας. γένοιτο δ' ἂν καὶ ἐπὶ τῶν σχημάτων λόγος, ὃς ἐφαρμόσει πᾶσιν, οὐκ ἔσται μέντοι ἴδιος οὐθενὸς σχήματος. ὁμοίως δὲ καὶ ἐπὶ ταῖς εἰρημέναις ψυχαῖς. διὸ γελοῖον ζητεῖν τὸν κοινὸν λόγον καὶ ἐπ' ἄλλων καὶ ἐπὶ τούτων, ὃς οὐκ ἔσται οὐθενὸς τῶν ὄντων ἴδιος, οὐδὲ κατὰ τὸ οἰκεῖον καὶ ἄτομον εἶδος, τὸν τοιοῦτον ἀφέντας. παραπλησίως δὲ ὥσπερ καὶ ἐπὶ τῶν σχημάτων, ἔχει καὶ τὰ περὶ τὴν ψυχήν· ἀεὶ γὰρ ἐν τῷ ἐφεξῆς ὑπάρχει δυνάμει τὸ πρότερον ἐπί τε τῶν σχημάτων καὶ ἐπὶ τῶν ἐμψύχων, λέγω δ' ὥσπερ ἐν τετραγώνῳ μὲν τρίγωνον, ἐν αἰσθητικῷ δὲ τὸ θρεπτικόν. ὥστε καὶ καθ' ἕκαστον δεῖ ζητεῖν τίς ἡ ἑκάστου ψυχή, οἷον τίς φυτοῦ καὶ τίς ἀνθρώπου καὶ τίς θηρίου. διὰ τίνα δ' αἰτίαν τῷ ἐφεξῆς οὕτως ἔχουσι, σκεπτέον. ἄνευ μὲν γὰρ τοῦ θρεπτικοῦ οὐθέν ἐστιν αἰσθητικόν· τοῦ δ' αἰσθητικοῦ χωρίζεται τὸ θρεπτικόν, οἷον ἐν τοῖς φυτοῖς. πάλιν δ' ἄνευ τοῦ ἁπτικοῦ οὐδεμία τῶν ἄλλων αἰσθήσεων, ἁφὴ δ' ἄνευ τῶν ἄλλων ὑπάρχει· πολλὰ γάρ ἐστι τῶν ζῴων, ἃ οὔτ' ὄψιν ἔχει οὔτ' ἀκοήν. καὶ τῶν αἰσθητικῶν δὲ κίνησις τοῖς μὲν ὑπάρχει τοῖς δ' οὐχ ὑπάρχει· τελευταῖον δὲ διάνοια καὶ λογισμός· οἷς μὲν γὰρ ὑπάρχει λογισμός, καὶ τῶν ἄλλων ἕκαστον τῶν εἰρημένων, οἷς δ' ἐκείνων ἕκαστον, οὐ πᾶσιν ὑπάρχει λογισμός. ἀλλὰ τὰ μὲν οὐδὲ φαντασίαν ἔχει μόνον. ὅτι μὲν οὖν ὁ περὶ τούτων ἑκάστου λόγος οἰκειότατος περὶ ψυχῆς ἐστί, δῆλον.

4 Ἀνάγκη δὲ τὸν περὶ τούτων μέλλοντα πραγματεύεσθαι

11 μεντοῖδος **17** ἐπὶ$_2$] ἐπι τε **18** θερπτικον **20** τίς$_2$] της τῷ] το **26** οὐχ **27** διάνοια] δια

λαβεῖν τί ἕκαστον αὐτῶν ἐστίν, εἶθ' οὕτω περὶ τῶν ἐχομένων καὶ τῶν ἄλλων ποιεῖσθαι τὴν ἐπίσκεψιν. εἰ δὲ δεῖ λέγειν τί ἕκαστον, οἷον τί τὸ νοητικὸν ἢ τί τὸ αἰσθητικὸν ἢ θρεπτικόν, πρότερον λεκτέον τὶ τὸ νοεῖν καὶ τί τὸ αἰσθάνεσθαι· αἱ γὰρ πράξεις καὶ αἱ ἐνέργειαι πρότεραι κατὰ τὸν λόγον εἰσὶ τῶν δυνάμεων. ἀλλὰ μὴν εἴ γε ταῦτα πρότερον ἔτι τούτων διοριστέον τὰ ἀντικείμενα, οἷον περὶ τροφῆς καὶ αἰσθητοῦ καὶ νοητοῦ διὰ τὴν αὐτὴν αἰτίαν. ὥστε πρῶτον ||
1v περὶ τροφῆς καὶ γεννήσεως λεκτέον· αὕτη γὰρ ἡ ψυχὴ καὶ τοῖς ἄλλοις ὑπάρχει πρώτη καὶ κοινοτάτη, ψυχῆς δ' ἐστὶ δύναμις, καθ' ἣν ὑπάρχει τὸ ζῆν πᾶσιν. ἧς ἔργον ἐστὶ γέννησις καὶ τὸ χρῆσθαι τροφῇ· τοῦτο γὰρ ἔργον μάλιστα φυσικὸν πᾶσι τοῖς ζῶσιν, ὅσα μὴ ἀτελῆ ἢ πηρώματά ἐστιν, ἢ αὐτόματον ἔχει τὴν γένεσιν, τὸ ποιῆσαι οἷον αὐτὸ ἕτερον, ζῷον μὲν ζῷα, φυτὸν δὲ φυτά, ἵνα τοῦ ἀεὶ καὶ τοῦ θείου μετέχῃ ἕκαστον ὃν δύναται τρόπον· πάντα γὰρ ἐκείνου ὀρέγεται, κἀκείνου 415b ἕνεκα πράττει ὅσα πράττει κατὰ φύσιν. τὸ γὰρ οὗ ἕνεκα διττόν, τὸ μὲν οὗ, τὸ δὲ ᾧ· ἐπεὶ οὖν οὐ τῇ συνεχείᾳ τοῦ ἀεὶ καὶ τοῦ θείου δύναται κοινωνεῖν· οὐ γὰρ ἐνδέχεται τὸ αὐτὸ ἀεὶ ἀριθμῷ εἶναι οὐθὲν τῶν φθαρτῶν· ὃν τρόπον ἐπιβάλλει, τοῦτον ἕκαστον θιγγάνει, τὸ μὲν μᾶλλον, τὸ δὲ ἧττον· καὶ διαμένει οὐκ αὐτό, ἀλλ' οἷον αὐτό, ἀριθμῷ μὲν οὐχ ἕν, εἴδει δ' ἕν. ἔστι δ' ἡ ψυχὴ ἀρχὴ τοῦ ζῶντος σώματος, ἀλλ' ἡ ἀρχὴ καὶ τὸ αἴτιον λέγεται πολλαχῶς. ὁμοίως δ' ἡ ψυχὴ τοὺς τρεῖς τρόπους αἰτία τοὺς διωρισμένους· καὶ γὰρ ὅθεν ἡ κίνησις καὶ οὗ ἕνεκα καὶ ὡς οὐσία τῶν ἐμψύχων σωμάτων ἐστὶν ἡ ψυχή. ὅτι μὲν οὖν ὡς οὐσία δῆλον· τοῦ γὰρ εἶναι ἡ οὐσία αἴτιον πᾶσι, τὸ δὲ ζῆν τοῖς ζῶσι τὸ εἶναί ἐστιν, αἴτιον δὲ καὶ ἀρχὴ ἡ

42 ἐστιν 43 πασισ 44 φυσικὸν] φυσι (= φύσει ?) 46 ‴αυτο · ″οιον
49 του 52 ἐπιβάλλειν 53 οιγγανει 56 ὅμως 60 αιτια

ψυχὴ τούτου ἐστίν. φανερὸν δὲ καὶ ὡς τὸ οὗ ἕνεκα ἡ ψυχή· καὶ γὰρ ἡ φύσις ἕνεκά του ποιεῖ ὥσπερ ὁ νοῦς, καὶ τοῦτ' ἔστιν αὐτῆς τὸ τέλος. καὶ ἡ ψυχὴ τοιοῦτον ἐν τοῖς κατὰ φύσιν. καὶ πᾶν τὸ σῶμα ὄργανον τῇ ψυχῇ· ὥσπερ δὲ τὸ τῶν ζῴων, καὶ τὸ τῶν φυτῶν. ἀλλὰ μὴν καὶ ὅθεν ἡ κίνησις πρῶτον ἡ κατὰ τόπον, τοῦτό ἐστι ψυχή· ἀλλ' οὐ πᾶσι τοῖς ζῴοις ἡ τοιαύτη ὑπάρχει δύναμις. ἔτι δ' ἀλλοίωσις καὶ αὔξησις κατὰ ψυχήν· ἡ μὲν γὰρ αἴσθησις δοκεῖ τις ἀλλοίωσις εἶναι, μὴ ἔχον δὲ ψυχὴν οὐθὲν ἂν αἴσθοιτο. ὁμοίως δὲ καὶ περὶ αὐξήσεως καὶ φθίσεως ἔχει. οὐθὲν γὰρ αὐξάνεται οὐδὲ φθίνει φυσικῶς μὴ τρεφόμενον, οὐδὲ τρέφεται μὴ ζωῆς μετέχον. ἀλλὰ τοῦτο Ἐμπεδοκλῆς οὐκ εἴρηκεν ὀρθῶς, προστιθεὶς
416a τὴν αὔξησιν συμβαίνειν τοῖς φυτοῖς κάτω μὲν διὰ τὸ τὴν γῆν φύσει οὕτω φέρεσθαι, ἄνω δὲ διὰ τὸ πῦρ. οὔτε γὰρ τὸ κάτω καὶ ἄνω λαμβάνει ὀρθῶς· οὐ γὰρ τὸ αὐτὸ ἑκάστου τὸ ἄνω καὶ τὸ κάτω καὶ τοῦ παντός· ἀλλ' ὡς ἡ κεφαλὴ τῶν ζῴων, οὕτως ἡ ῥίζα τῶν φυτῶν ἐστιν· τὸ δὲ αὐτὸ δεῖ λέγειν ὄργανον, ὧν ἂν ᾖ τὸ αὐτὸ ἔργον. ἔτι δὲ τί τὸ συνέχον εἰς τἀναντία φερομένων; τοῦτο γὰρ αἴτιον τὸ τῆς αὐξήσεως καὶ τροφῆς· εἰ δὲ μή, οὐθὲν κωλύσει δι —

62 φυσι **65** εκινησις **69** αιθοιτο **71** μη τρεφομεν

III.

(Fol 2r et v; cf cum 421a 5—422a 23)

421a ὅτι οὐ δέχονται τὸν ἀέρα οὐδ' ἀναπνέουσιν· δι' ἣν δ' 2r
αἰτίαν, ἕτερος ἔσται περὶ αὐτῶν λόγος. 9 Περὶ δὲ ὀσμῆς καὶ τοῦ ὀσφραντοῦ οὐκ ἔστι ῥᾴδιον διορίσαι ὁμοίως τοῖς εἰρημένοις αἰσθητοῖς, τί ἐστιν ἡ ὀσμὴ οὕτως ὡς ὁ ψόφος καὶ τὸ φῶς, αἴτιον δ' ὅτι οὐκ ἔχομεν ἀκριβῆ ταύτην τὴν αἴσθησιν, ἀλλὰ

χείριστα ὀσμᾶται ἄνθρωπος τῶν ζῴων, καὶ οὐδεμίαν ἄνευ τοῦ λυπηροῦ καὶ ἡδέος δύναται αἰσθέσθαι ὀσμήν, ὡς τοῦ αἰσθητηρίου ὄντος οὐκ ἀκριβοῦς. ὥσπερ οὖν τοῖς σκληροφθάλμοις ἀδήλους εἰκὸς εἶναι τὰς διαφορὰς τῶν χρωμάτων καὶ συγκεχυμένας, ἀλλὰ τῷ φοβερῷ καὶ τῷ ἀφόβῳ διορίζειν μόνον, οὕτως καὶ τὰ περὶ τὰς ὀσμὰς τοῖς ἀνθρώποις, ἐπεὶ ἔοικέ τε ἀνάλογον ἔχειν πρὸς γεῦσιν καὶ ὅμοια τὰ εἴδη τῶν χυμῶν τοῖς τῆς ὀσμῆς, ἀλλὰ τὴν γεῦσιν ἔχομεν ἀκριβεστέραν διὰ τὸ εἶναι ἁφήν τινα αὐτήν· ⟨ταύτην⟩ δ' ἔχει τὴν αἴσθησιν ἀκριβεστάτην ἄνθρωπος· ἐν μὲν γὰρ ταῖς ἄλλαις λείπεται πολλῶν ζῴων, τῶν δ' ἁπτῶν αἰσθάνεται μάλιστα ἀκριβῶς. διὸ καὶ φρονιμώτατον τῶν ζῴων ἐστίν. σημεῖον δέ· καὶ γὰρ αὐτῶν τῶν ἀνθρώπων εὐφυεῖς, οἱ δ' ἀφυεῖς εἰσὶ παρ' οὐδὲν αἰσθητήριον ἕτερον ἀλλὰ παρὰ ταύτην. ὧν μὲν γὰρ ἡ σὰρξ μαλακή, εὐφυεῖς, οἱ δὲ σκληρόσαρκοι ἀφυεῖς τὴν διάνοιαν. ἔστι δ' ὥσπερ χυμὸς ὁ μὲν γλυκὺς ὁ δὲ πικρός, καὶ ὀσμαὶ τὸν αὐτὸν ἔχουσαι τρόπον. ἀλλὰ τὰ μὲν ἔχει τὴν ἀνάλογον ὀσμὴν καὶ χυμόν, τὰ δὲ τοὐναντίον. ὁμοίως δὲ καὶ δριμεῖα καὶ αὐστηρὰ καὶ ὀξεῖα καὶ λιπαρά ἐστιν ὀσμή. ἀλλ' ὥσπερ εἴρηται διὰ τὸ μὴ σφόδρα διαδήλους εἶναι τὰς ὀσμὰς ὥσπερ τοὺς χυμούς, ἀπὸ τούτων εἴληφε τὰ ὀνόματα καθ' ὁμοιότητα τῶν πραγμάτων· ἡ μὲν γλυκεῖα κρό- 421 b
κου καὶ μέλιτος, ἡ δὲ δριμεῖα θύμου καὶ τῶν τοιούτων· τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων. ἔστι δ' ὥσπερ καὶ ἡ ἀκοὴ καὶ ἑκάστη τῶν αἰσθήσεων τοῦ τε ἀκουστοῦ

6 ὁ ἄνθρ. P 7 αἰσθάνεσθαι P 9 εἰκός om P 10 τῷ₂ om P 11 τὰ om P 14 αὐτήν om P ταύτην om Eₐ 16 τῶν δ' . . . ἀκριβῶς] vulgatam P, sed πολλῶν pro πολλῷ 18 post ἀνθρώπων add οἱ μὲν P 19 ἕτερον αἰσθητήριον P 21 ὁ μὲν χυμὸς P 22 καὶ . . . τρόπον] οὕτω καὶ ὀσμαί (= vulg.) P 25 εἴρηται] εἴπομεν P εἶναι διαδήλους P 26 ἀπο τε τουτων Eₐ 27 καθ'] καὶ Eₐ μὲν γὰρ γλ. P

καὶ ἀνηκούστου καὶ ὁρατοῦ καὶ ἀοράτου, καὶ ἡ ὄσφρησις τοῦ ὀσφραντοῦ καὶ ἀνοσφράντου. ἀνόσφραντον δὲ τὸ μὲν παρὰ τὸ ὅλως ἀδύνατον ἔχειν ὀσμήν, τὸ δὲ μικρὰν ἔχον καὶ τὸ φαύλην, ὥσπερ τὸ ἄγευστον ὡσαύτως λέγεται. ἔστι δὲ καὶ ἡ ὄσφρησις διὰ τοῦ μεταξύ, οἷον ὕδατος καὶ ἀέρος· καὶ γὰρ τὰ ἔνυδρα φαίνεται αἰσθανόμενα ὀσμῆς, καὶ τὰ ἔναιμα καὶ ἄναιμα ὁμοίως, ὥσπερ καὶ τὰ ἐν τῷ ἀέρι· καὶ γὰρ τούτων ἔνια πόρρωθεν ἀπαντᾷ πρὸς τὴν τροφὴν αἰσθανόμενα τὴν ὀσμήν· διὸ καὶ ἔχει ἀπορίαν εἰ πάντα μὲν ὡσαύτως ὀσμᾶται, ὁ δ' ἄνθρω-|πος ἀναπνέων, μὴ ἀναπνέων δὲ 2v ἀλλ' ἢ κατέχων τὸ πνεῦμα ἢ ἐκπνέων οὐκ ὀσμᾶται, οὔτε πόρρω οὔτ' ἐγγύς, οὐδ' ἂν ἐπιθῇ τις εἰς τὸν μυκτῆρα ἐντός. καὶ τὸ μὲν ἐπ' αὐτῷ τῷ αἰσθητηρίῳ τιθέμενον ἀναίσθητον εἶναι κοινὸν πάντων· ἀλλὰ τὸ ἄνευ τοῦ ἀναπνεῖν μὴ αἰσθάνεσθαι ἴδιον ἐπὶ τῶν ἀνθρώπων ἐστίν· τοῦτο δὲ πειρωμένῳ δῆλον. εἰ οὖν τὰ ἄναιμα μὴ ἀναπνεῖ, ἑτέρων ἄν τινα ἔχοι αἴσθησιν παρὰ τὰς λεγομένας. ἀλλ' εἴπερ τῆς ὀσμῆς αἰσθάνεται, ἀδύνατον· ἡ γὰρ τοῦ ὀσφραντοῦ καὶ εὐώδους καὶ δυσώδους αἴσθησις ὄσφρησίς ἐστιν. φαίνεται δὲ καὶ φθειρόμενα ὑπὸ τῶν ἰσχυρῶν ὀσμῶν ὑφ' ὧνπερ καὶ ἄνθρωπος, οἷον ἀσφάλτου καὶ θείου καὶ τῶν τοιούτων. ὀσφραίνεσθαι μέντοι νῦν ἀναγκαῖον, ἀλλ' οὐκ ἀναπνεῖν. ἀλλ' ἔοικε διαφέρειν τὸ αἰσθητήριον τοῦτο τοῖς ἀνθρώποις πρὸς τὸ τῶν ἄλλων ζῴων, ὥσπερ καὶ τὰ ὄμματα πρὸς τὰ τῶν σκληροφθάλμων· τὸ μὲν γὰρ ἔχει πῶμα καὶ ὥσπερ ἔλυτρον τὰς βλεφαρίδας, ἃς ἂν μὴ ἀνασπάσῃ καὶ κινήσῃ, οὐχ ὁρᾷ· τὰ δὲ σκληρόφθαλμα οὐκ

32 ὀσφρητου E_a **34** ὥσπερ . . . ὡσαύτως] ὡσαύτως δὲ καὶ τὸ ἄγευστον P **35** τῶν P [ν m²] **36** καὶ ὀσμῆς καὶ P **39** τὴν] πρὸς τὴν P ἀπορίαν ex ἀπορειαν E_a **42** οὐδ'] οὔτ' P **46** ἀναπνεῖν E_a ἔχῃ P **50** ὑφ' ὧν P **51** νῦν om P **55** ἔχον P ἔλλυτρον P **56** κινήσει P

ἔχει. ἀλλ' εὐθὺς ὁρᾷ, ὅ τι ἂν τεθῇ ἐν τῷ διαφανεῖ· οὕτω καὶ τὸ ὀσφραντικὸν αἰσθητήριον τοῖς μὲν ἀκάλυφον εἶναι, 422a ὥσπερ τὸ ὄμμα, τοῖς δὲ δεχομένοις τὸν ἀέρα ἔχειν ἐπικάλυμμα, ὃ ἀναπνεόντων ἀποκαλύπτεσθαι, διευρυνομένων τῶν φλεβῶν καὶ τῶν πόρων. καὶ διὰ τοῦτο τὰ ἀναπνέοντα ἐν τῷ ὑγρῷ οὐκ ὀσμᾶται, ὅτι ἀνάγκη ἀναπνεύσαντος ὀσφρανθῆναι, ἐν δὲ τῷ ὑγρῷ ἀδύνατον τοῦτο ποιεῖν. ἔστι δ' ἡ ὀσμὴ τοῦ ξηροῦ ὥσπερ ὁ χυμὸς τοῦ ὑγροῦ· τὸ δ' ὀσφραντικὸν τὸ αἰσθητήριον τὸ δυνάμει τοιοῦτον.

10 Τὸ δὲ γευστόν ἐστιν ἁπτόν τι καὶ τοῦτο αἴτιον τοῦ μὴ εἶναι αἰσθητὸν διὰ τοῦ μεταξὺ ἀλλοτρίου ὄντος σώματος· οὐδὲ γὰρ ἡ ἁφή. καὶ τὸ σῶμα, ἐν ᾧ ὁ χυμός, τὸ γευστόν, ἐν ὑγρῷ ὡς ὕλῃ· τοῦτο δ' ἁπτόν τι. διὸ κἂν εἰ ἐν ὕδατι εἴημεν, αἰσθανόμεθα ἐμβληθέντος γλυκέος, οὐ διὰ τοῦ μεταξὺ δὲ ἡμῖν ἡ αἴσθησις, ἀλλὰ τῷ μειχθῆναι τῷ ὑγρῷ, ὥσπερ ποτῷ· τὸ δὲ χρῶμα οὐχ οὕτως ὁρᾶται τῷ μίγνυσθαι οὐδὲ ταῖς ἀπορροίαις. ὡς μὲν οὖν τὸ μεταξὺ οὐθέν ἐστιν· ὡς δὲ χρῶμα τὸ ὁρατόν, οὕτω γευστὸν χυμός. οὐθὲν δὲ ποιεῖ αἴσθησιν χυμοῦ ἄνευ ὑγρότητος, ἀλλ' ἔχει ἐνεργείᾳ ἢ δυνάμει ὑγρότητα, οἷον τὸ ἁλμυρόν· τηκτόν τε γὰρ αὐτὸ καὶ συντηκτικὸν τῆς γλώττης. ὥσπερ δὲ καὶ ἡ ὄψις ἐστὶ τοῦ τε ὁρατοῦ καὶ τοῦ ἀοράτου (ὁ γὰρ σκότος ἀόρατος, κρινεῖ δὲ καὶ τοῦτον ἡ ὄψις), ἔτι τοῦ λίαν λαμπροῦ (καὶ γὰρ τοῦτό πως ἀόρατον, ἄλλον τρόπον καὶ ὁ σκότος), ὁμοίως δὲ καὶ ἡ ἀκοὴ ψόφου τε καὶ σιγῆς, ὧν τὸ

57 εὐθέα P 59 τὸν ἀέρα δεχομένοις P 60 ἀνακαλύπτεσθαι P 62 ἀναπνεύσαντας P 63 τοῦτο om E_a: τοῦτο δὲ ποιεῖν ἐν τῷ ὑγρῷ ἀδύνατον P 64 τὸ$_2$ et 65 τὸ om P 70 ὦμεν P ἐμβλ. ἂν γλ. P 71 μειχθῆναι sed ει corr in ι E_a 77 καὶ$_1$ om P 79 ἐπὶ E

IV.

(Fol. 196^r et ^{v}; cf cum 423^b 8—424^b 18)

423b εἴρηται πρότερον ὅτι καὶ δι' ὑμένος ἂν πάντων αἰσθανοίμεθα τῶν ἁπτῶν, κἂν εἰ λανθάνοι διείργων, ὁμοίως ἂν ἔχοιμεν ὥσπερ νῦν ἐν τῷ ὕδατι καὶ ἐν τῷ ἀέρι· δοκοῦμεν γὰρ αὐτῶν θιγγάνειν καὶ οὐθὲν εἶναι διὰ μέσου. **196r** ἀλλὰ διαφέρει τούτῳ τὰ ἁπτὰ τῶν ὁρατῶν καὶ ψοφητικῶν, ὅτι ἐκείνων αἰσθανόμεθα τῷ τὸ μεταξὺ ποιεῖν τι ἡμᾶς, τῶν δ' ἁπτῶν οὐχ ὑπὸ τοῦ μεταξὺ ἀλλ' ἅμα τῷ μεταξύ, ὥσπερ οἱ διὰ τῆς ἀσπίδος πληγέντες· οὐδὲ γὰρ ἡ ἀσπὶς πληγεῖσα ἐπάταξεν, ἀλλ' ἅμα ἀμφοῖν συνέβη πληγῆναι. ὅλως δ' ἔοικε καὶ ἡ σὰρξ καὶ ἡ γλῶττα, ὡς ὁ ἀὴρ καὶ τὸ ὕδωρ πρὸς τὴν ὄψιν καὶ τὴν ἀκοὴν καὶ ὄσφρησιν ἔχουσιν, οὕτως ἔχειν πρὸς τὸ αἰσθητήριον ὥσπερ ἐκείνων ἕκαστον. αὐτοῦ δὲ τοῦ αἰσθητηρίου ἁπτομένου οὔτ' ἐκεῖ οὔτ' ἐνταῦθα γένοιτ' ἂν αἴσθησις. οἷον εἴ τις τὸ σῶμα τὸ λευκὸν ἐπὶ τοῦ ὄμματος θείη τὸ ἔσχατον. ᾗ καὶ δῆλον ὅτι ἐντὸς τὸ τοῦ ἁπτοῦ αἰσθητικόν. οὕτω γὰρ ἂν συμβαίνοι ὅπερ ἐπὶ τῶν ἄλλων· ἐπιτιθεμένου γὰρ ἐπὶ τὸ αἰσθητήριον οὐκ αἰσθάνεται, ἐπὶ δὲ τὴν σάρκα ἐπιτιθεμένου αἰσθάνεται· ὥστε μεταξὺ ἄρα τοῦ ἁπτικοῦ ἡ σάρξ. ἁπταὶ μὲν οὖν εἰσὶν αἱ διαφοραὶ τοῦ σώματος ᾗ σῶμα· λέγω δὲ διαφοράς, αἷς τὰ στοιχεῖα διορίζουσι, θερμὸν καὶ ψυχρὸν καὶ ξηρὸν καὶ ὑγρόν, περὶ ὧν εἴρηται πρότερον ἐν τοῖς περὶ τῶν στοιχείων. τὸ δὲ αἰσθητήριον αὐτῶν τὸ ἁπτικόν, καὶ ἐν ᾧ ἡ καλουμένη ἁφὴ ὑπάρχει πρώτῳ, τὸ δυνάμει τοιοῦτόν ἐστι μόριον· τὸ γὰρ αἰσθάνεσθαι 424a πάσχειν τί ἐστιν· ὥστε τὸ ποιοῦν, ⟨οἷον⟩ αὐτὸ ἐνεργείᾳ, τοιοῦτον ποιεῖ ἐκεῖνο τὸ δυνάμει ὄν. διὸ τοῦ ὁμοίως θερμοῦ

1 ἁπάντων ἂν αἰσθανόμεθα P 8 οὔτε E_a 13 γενοστοαναισθησιν E_a 17 εσθανεται E_a 18 αὗται P 20 αἷς] αἱ P 23 πρώτως P 24 οἷον om E_a P

ἢ ψυχροῦ ἢ σκληροῦ ἢ μαλακοῦ οὐκ αἰσθανόμεθα, ἀλλὰ τῶν ὑπερβολῶν, ὡς ἂν τῆς αἰσθήσεως οἷον μεσότητός τινος οὔσης τῆς ἐν τοῖς αἰσθητοῖς ἐναντιώσεως. καὶ διὰ τοῦτο κρίνει τὰ αἰσθητά. τὸ γὰρ μέσον κριτικόν· γίνεται γὰρ πρὸς ὁποτερονοῦν αὐτῶν θάτερον τῶν ἄκρων· καὶ δεῖ ὥσπερ τὸ μέλλον λευκοῦ αἰσθήσεσθαι ἢ μέλανος μηδέτερον εἶναι ἐνεργείᾳ, ἀλλὰ δυνάμει, οὕτω δὴ καὶ ἐπὶ τῶν ἄλλων καὶ ἐπὶ τῆς ἁφῆς μήτε θερμὸν μήτε ψυχρόν. ἔτι δ' ὥσπερ τοῦ τε ὁρατοῦ καὶ τοῦ ἀοράτου ἦν πως ἡ ὄψις, ὁμοίως δὲ καὶ αἱ ἄλλαι τῶν ἀντικειμένων, οὕτω καὶ ἡ ἁφὴ τοῦ ἁπτοῦ καὶ ἀνάπτου· ἄναπτον δὲ τό τε μικρὰν πάμπαν ἔχον διαφορὰν τῶν ἁπτῶν, οἷον πέπονθεν ὁ ἀήρ, καὶ αἱ ὑπερβολαὶ τῶν ἁπτῶν ἄναπτοι, ὥσπερ τὰ φθαρτικά. καθ' ἑκάστην μὲν οὖν αἴσθησιν εἴρηται ὡς ἐν τύπῳ εἰπεῖν.

12 Καθόλου δὲ περὶ πάσης αἰσθήσεως δεῖ λαβεῖν ὅτι ἡ μὲν αἴσθησίς ἐστι τὸ δεκτικὸν τῶν αἰσθητῶν ἄνευ τῆς ὕλης, οἷον ὁ κηρὸς τοῦ δακτυλίου ἄνευ τοῦ σιδήρου καὶ τοῦ
196v χρυσοῦ δέχεται τὸ σημεῖον, λαμ- || βάνει δὲ τὸ χαλκοῦν ἢ χρυσοῦν σημεῖον, ἀλλ' οὐχ ᾗ χαλκὸς ἢ χρυσός. ὁμοίως δὲ καὶ ἡ αἴσθησις ἑκάστη ὑπὸ τοῦ ἔχοντος χρῶμα ἢ ψόφον ἢ χυμὸν πάσχει, ἀλλ' οὐχ ᾗ ἕκαστον ἐκείνων λέγεται, ἀλλ' ᾗ τοιόνδε καὶ κατὰ τὸν λόγον. αἰσθητήριον δὲ πρῶτον, ἐν ᾧ ἡ τοιαύτη δύναμις. ἔστι μὲν οὖν τὸ αὐτό, τὸ δ' εἶναι ἕτερον· μέγεθος μὲν γὰρ ἄν τι εἴη τὸ αἰσθανόμενον· οὐ μέντοι τό γε αἰσθητικῷ εἶναι ἢ αἰσθήσει μεγέθει ἐστὶν εἶναι, ἀλλὰ λόγος τις καὶ δύναμις ἐκείνου. φανερὸν δ' ἐκ τούτων καὶ διὰ

27 ἂν τοῦ αἰσθητηρίου τῆς E_aP **29** κριτικόν ... πρὸς om E_a γὰρ$_2$] δὲ P **32** ἀλλὰ δυνάμει] δυνάμει δ' ἄμφω P δὲ E_a **34** λοιπαὶ P **36** πάμπαν post ἁπτῶν P **38** ὡς om P **42** δακτύλου E_a **43** χρυσοῦν ἢ χαλκοῦν P σημιον E_a **45** καὶ ησθησις E_a χυμὸν ἢ ψόφον P **47** τοιονδὶ P **49** ἄν τι] πάντη P **50** εἶναι ἔστι P λόγου P **51** καὶ$_1$ P

τί ποτε τῶν αἰσθητῶν αἱ ὑπερβολαὶ φθείρουσι τὰς αἰσθήσεις· ἂν γὰρ ᾖ ἡ κίνησις ἰσχυροτέρα τοῦ αἰσθητηρίου, λύεται ὁ λόγος, τοῦτο δ' ἦν αἴσθησις, ὥσπερανεὶ ἡ συμφωνία καὶ ὁ τόνος σφόδρα κρουομένων τῶν χορδῶν. καὶ διὰ τί ποτε τὰ φυτὰ οὐκ αἰσθάνεται, ἔχοντά τι μόριον ψυχικὸν καὶ πάσχοντα ὑπὸ τῶν ἁπτῶν· καὶ γὰρ ψύχεται καὶ 424 b θερμαίνεται· αἴτιον δὲ τὸ μὴ ἔχειν μεσότητα, μηδὲ τοιαύτην ἀρχήν, οἵαν τὰ εἴδη τῶν αἰσθητῶν δέχεσθαι, ἀλλὰ μετὰ τῆς ὕλης πάσχειν. ἀπορήσειε δ' ἄν τις, ἆρα πάθοι ἂν ὑπ' ὀσμῆς τὸ μὴ δυνάμενον ὀσφρανθῆναι, ⟨ἢ⟩ ὑπὸ χρώματος τὸ μὴ δυνάμενον ἰδεῖν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, εἰ δ' ἡ ὀσμὴ τὸ ὀσφραντόν, εἴ τι ποιεῖ, τὴν ὄσφρησιν ποιεῖ ὀσμή. ὥστε οὐθὲν πάσχειν τῶν ἀδυνάτων ὀσφρανθῆναι. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων· οὐδὲ τῶν δυνατῶν, ἀλλ' ᾗ αἰσθητικὸν ἕκαστον. ἅμα δὲ δῆλον καὶ οὕτως. οὔτε γὰρ ψόφος οὔτε τὸ φῶς καὶ σκότος οὔτε ἡ ὀσμὴ οὐθὲν ποιεῖ τὰ σώματα, ἀλλ' ἐν οἷς ἐστίν, οἷον ἀὴρ ὁ μετὰ τῆς βροντῆς διέστησε τὸ ξύλον. ἀλλὰ δὴ τὰ ἁπτὰ καὶ οἱ χυμοὶ ποιοῦσιν· εἰ γὰρ μή, ὑπὸ τίνος ἂν πάσχοι τὰ ἄψυχα ἢ ἀλλοιοῖτο; ἆρ' οὖν κἀκεῖνα ποιεῖ; ἢ οὐ πᾶν σῶμα παθητικὸν ὑπ' ὀσμῆς καὶ ψόφου· καὶ τὰ πάσχοντα ἀόριστα, καὶ οὐ μένει, οἷον ἀήρ· ὄζει γὰρ ὥς παθών τι. τί οὖν ἐστὶ τὸ ὀσμᾶσθαι παρὰ τὸ πάσχειν τι; ἢ τὸ μὲν ὀσμᾶσθαι αἰσθάνεσθαι, ὁ δ' ἀὴρ παθὼν τοῦτο ταχὺ αἰσθητὸς γίγνεται.

52 φθίρουσι E_a : φθίνουσι P **53** ᾖ ἡ E_a : ἡ P **54** ὥσπερ καὶ P **57** πάσχοντά τι P **59** οιον E_a **61** ἢ om E_aP **64** ὥστε . . . ὀσφρανθῆναι] vulgatam P δυνατον E_a **70** εἰ ἀλλοιοῖ P **71** ἢ om E_a **73** γοῦν P παθοντι E **74** ὀσμασθαιαιαισθανεσθαι E_a **75** πανθῶν E_a ταχέως P

Specimina recensionis Vaticanæ in codice P servatæ.

I.

(412^{b} 9—23)

412 b καθόλου μὲν οὖν εἴρηται τί ἐστιν ἡ ψυχή, ὅτι οὐσία ἡ κατὰ τὸν λόγον. τοῦτο δὲ τὸ τί ἦν εἶναι τῷ τοιῳδὶ σώματι, ὥσπερ εἰ ἦν ὁτιοῦν τῶν ὀργάνων φυσικὸν σῶμα, οἷον πρίων· ἦν γὰρ ἂν τὸ πρίονι εἶναι ἡ οὐσία αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦτο· διὸ ἀπελθούσης οὐκέτ' ἂν ἦν πρίων, ἀλλ' ἢ ὁμωνύμως. νῦν δ' ἐστὶ πρίων· οὐ γὰρ τοιούτου σώματος ἡ ψυχὴ τὸ τί ἦν εἶναι καὶ ὁ λόγος, ἀλλὰ φυσικοῦ τοιουδὶ ἔχοντος κινήσεως καὶ στάσεως ἀρχὴν ἐν ἑαυτῷ. δεῖ δὲ σκοπεῖν ὥσπερ εἴπομεν ἐπὶ τῶν μερῶν ὁτῳοῦν. εἰ γὰρ ἦν ὁ ὀφθαλμὸς ζῷον, ἦν ἂν τούτου ψυχὴ ἡ ὄψις· αὕτη γὰρ οὐσία ὀφθαλμοῦ ἡ κατὰ τὸν λόγον. ὁ δ' ὀφθαλμὸς ὕλη ὄψεως· ἀπελθούσης δ' οὐκ ἔτι ὁ ὀφθαλμὸς ἀλλ' ἢ ὁμωνύμως, ὥσπερ εἰ τὸν λίθινον ὀφθαλμὸν φαίημεν εἶναι. ὃ δὲ ἐπὶ ἑνὸς μέρους, τοῦτο δεῖ λαβεῖν ἐπὶ ὅλου τοῦ ζῶντος σώματος·

II.

(413^{a} 3—414^{a} 15)

ὅτι μὲν οὖν ἤτοι μέρη ἔνια τῆς ψυχῆς ἢ ἡ ὅλη, εἰ μεριστή, οὐκ ἔστι χωριστὴ τοῦ σώματος, οὗ ἐστι ψυχή, οὐκ ἄδηλον· ἐνίων

γὰρ ἡ ἐντελέχεια αὐτῶν τῶν μερῶν ἐστιν. οὐ μὴν ἀλλ' ἔννια οὐθὲν κωλύει. οὐ γάρ ἐστι σώματος ἐντελέχεια οὐδενός. ἔτι ἄδηλον εἰ οὕτως ἡ ψυχὴ τοῦ σώματος ἐντελέχεια ὥσπερ πλωτὴρ πλοίου. ὡς μὲν οὖν εἰπεῖν τύπῳ περὶ ψυχῆς εἰρήσθω τὸν τρόπον τοῦτον.

2 Ἐπεὶ δ' ἐκ τῶν ἀσαφῶν μὲν φανερωτέρων δὲ τὸ σαφὲς γίνεται καὶ κατὰ τὸν λόγον γνωριμώτερον, πειρατέον πάλιν οὕτω γ' ἐπελθεῖν περὶ αὐτῆς· οὐ γὰρ μόνον τὸ ὅτι δεῖ ἔχειν τὸν λόγον τὸν ὁριστικόν, ὥσπερ οἱ πλεῖστοι τὸν ὅρον λέγουσιν, ἀλλὰ καὶ τὴν αἰτίαν ἐνυπάρχειν. νῦν δ' ὥσπερ συμπέρασμα οἱ λόγοι τῶν ὅρων εἰσίν, οἷον τί ἐστι τετραγωνισμός; τὸ ἴσον ἑτερομήκει ὀρθογώνιον εἶναι ἰσόπλευρον· οὗτος μὲν γὰρ ὁ τοῦ συμπεράσματος· ὁ δὲ λέγων τί ἐστι τετραγωνισμός; ὅτι μέσης εὕρεσις, τοῦ πράγματος λέγει τὸ αἴτιον. λέγωμεν οὖν ποιησάμενοι τῆς σκέψεως ἀρχὴν τήνδε. τὸ ψυχὴν ἔχον πρὸς τὸ μὴ ἔχον διορίζομεν τῷ ζῆν· τὸ δὲ ζῆν εἰς πλείω τὸν ἀριθμὸν βλέψαντες εἴποιμεν κἂν εἰ μόνον ἓν ὑπάρχῃ τι τούτων, εἰς αἴσθησιν, εἰς νοῦν, εἰς κίνησιν τὴν κατὰ τόπον καὶ στάσιν, ἔτι εἰς κίνησιν τὴν κατὰ τὸ τρέφειν καὶ αὐξάνεσθαι καὶ φθίνειν, διὸ καὶ τὰ φυόμενα πάντα ζωῆς τινὸς δοκεῖ μετέχειν· αὐτὰ γὰρ ἐν αὑτοῖς φαίνεται τοιαύτην δύναμιν ἔχοντα καὶ ἀρχήν, δι' ἧς αὔξησίν τε λαμβάνει καὶ φθίσιν κατὰ τοὺς ἐναντίους τόπους· οὐ γὰρ ἄνω μὲν αὔξεται, κάτω δ' οὔ, ἀλλὰ καὶ κάτω καὶ ἄνω καὶ πάντη· καὶ τρέφεται διὰ τέλους καὶ ζῇ ἕως ἂν δύνηται λαμβάνειν τροφήν. δύναται δὲ τοῦτο μὲν χωρίζεσθαι τῶν ἄλλων, τούτου δὲ τἆλλ' ἀδύνατον ἐν τοῖς θνητοῖς. φανερὸν δ' ἐπὶ τῶν φυομένων· οὐδεμία γὰρ αὐτοῖς ὑπάρχει δύναμις ἄλλη ψυχῆς.
τὸ μὲν οὖν ζῆν διὰ ταύτην ὑπάρχει τὴν ἀρχὴν παρὰ τοῖς **413 b**
ζῴοις, τὸ δὲ ζῷον διὰ τὴν αἴσθησιν πρῶτον· καὶ γὰρ εἰ μὴ κινοῖτο μηδ' ἀλλάττοι τόπον, ἔχει δὲ αἴσθησιν, ζῷον ἂν

εἶναι φαῖμεν καὶ οὐ μόνον ζῆν. φαίνεται δὲ καὶ τοιαῦτ' εἶναι πολλὰ τῶν ζῴων· μόνιμα γὰρ ὄντα τῇ φύσει ἔχει μόνον αἴσθησιν. αἰσθήσεως δὲ ἁφὴ πρῶτον ὑπάρχει πᾶσι· καὶ καθάπερ τὸ θρεπτικὸν δύναται χωρίζεσθαι τῆς ἁφῆς, πάλιν οὕτως αὕτη τῶν ἄλλων αἰσθήσεων· πάντα γὰρ τὰ ζῷα ἔχοντα φαίνεται τὴν ἁπτικὴν αἴσθησιν· δι' ἣν δ' αἰτίαν ἑκάτερον τούτων οὕτω συμβέβηκεν, ὕστερον ἐροῦμεν. νῦν δ' ἐπὶ τοσοῦτον εἰρήσθω μόνον, ὅτι ἡ ψυχὴ τούτων ἐστὶν ἀρχὴ τῶν εἰρημένων καὶ ὥρισται τούτοις θρεπτικῷ, αἰσθητικῷ, διανοητικῷ, κινήσει. πότερον δὲ τούτων ἕκαστόν ἐστι ψυχὴ ἢ μόρια ψυχῆς, καὶ πότερον μόρια ψυχῆς οὕτως ὥστε εἶναι χωριστὰ μόνῳ λόγῳ ἢ καὶ τόπῳ, περὶ μὲν οὖν τινῶν οὐ χαλεπὸν ἰδεῖν, ἔνια δὲ ἀπορίαν ἔχει. ὥσπερ γὰρ ἐπὶ τῶν φυτῶν φαίνεται διαιρούμενα ἔνια ζῶντα καὶ χωριζόμενα δ' ἀπ' ἀλλήλων, ὡς οὔσης τῆς ἐν αὐτοῖς ψυχῆς ἐντελεχείᾳ μὲν μιᾶς ἐν τῷ ἑνὶ ἑκάστῳ φυτῷ, δυνάμει δὲ πολλῶν, οὕτω καὶ περὶ τὰς ἄλλας διαφορὰς ὁρῶμεν τῆς ψυχῆς συμβαῖνον ἐν τοῖς διατεμνομένοις ζῴοις· καὶ γὰρ αἴσθησιν ἑκάτερον τῶν μερῶν ἔχει καὶ κίνησιν τὴν κατὰ τόπον, εἰ δ' αἴσθησιν, καὶ φαντασίαν καὶ ὄρεξιν· ὅπου μὲν γὰρ αἴσθησις, λύπη τε καὶ ἡδονὴ παρακολουθεῖ, ὅπου δὲ ταῦτα, ἐξ ἀνάγκης καὶ ἐπιθυμία. περὶ δὲ τοῦ νοῦ τῆς θεωρητικῆς δυνάμεως οὐδέ πω φανερόν, ἀλλ' ἔοικε ψυχῆς γένος ἕτερον εἶναι, καὶ τοῦτο μόνον ἐνδέχεται χωρίζεσθαι, ὥσπερ τὸ ἀΐδιον τοῦ φθαρτοῦ. ὅτι μὲν οὖν οὐκ ἔστιν οὕτω ταῦτα μέρος ψυχῆς ὥστ' εἶναι χωριστά, καθάπερ φασί τινες, δῆλον ἐκ τούτων· τῷ δὲ λόγῳ ὅτι ἕτερον, φανερόν· αἰσθητικὸν γὰρ εἶναι καὶ δοξαστικὸν ἕτερον, εἴπερ καὶ τὸ αἰσθάνεσθαι τοῦ δοξάζειν. ὁμοίως δὲ καὶ τῶν ἄλλων τῶν εἰρημένων ἕκαστον, ἔτι δ' ἐνίοις μὲν τῶν ζῴων ὑπάρχει ἅπαντα, ἐνίοις δὲ ἐλάττω, τοῖς δὲ ἓν μόνον· τοῦτο δὲ ποιεῖ
414a διαφορὰς τῶν ζώντων· δι' ἣν δ' αἰτίαν, σκεπτέον ὕστερον.

τὸ δ᾽ αὐτὸ τοῦτο συμβαίνει καὶ περὶ τὰς αἰσθήσεις· τὰ μὲν γὰρ ἔχει πάσας, τὰ δ᾽ ἐλάττους, τὰ δὲ μίαν τὴν ἀναγκαιοτάτην, ἁφήν. ἐπεὶ δὲ ᾧ ζῶμεν καὶ αἰσθανόμεθα λέγεται διχῶς, ὥσπερ ᾧ ἐπιστάμεθα· τὸ μὲν γὰρ ἐπιστήμην εἶναί φαμεν, τὸ δὲ ψυχήν· καὶ γὰρ τῇ ψυχῇ καὶ τῇ ἐπιστήμῃ ἐπίστασθαι λέγομεν· ὁμοίως δὲ καὶ ᾧ ὑγιαίνομεν, τὸ μὲν ὑγιείᾳ, τὸ δὲ τοῦ σώματός τινι μορίῳ ἢ ὅλῳ· τούτων δ᾽ ἡ μὲν ἐπιστήμη καὶ ἡ ὑγίεια εἶδός τι καὶ μορφὴ καὶ λόγος καὶ οἷον ἐνέργεια τῶν δεκτικῶν, ἡ μὲν τοῦ ἐπιστημονικοῦ, ἡ δὲ τοῦ ὑγιαστοῦ· ἐν τῷ πάσχοντι γὰρ καὶ διατιθεμένῳ δοκεῖ ἡ ἐνέργεια ἐνεῖναι ἡ τῶν ποιητικῶν· ἡ ψυχὴ δὲ τοῦτο ᾧ ζῶμεν καὶ αἰσθανόμεθα καὶ κινούμεθα πρώτως· ὥστ᾽ εἶδός τι καὶ λόγος ἐστίν, ἀλλ᾽ οὐχ ὡς ὕλη καὶ ὑποκείμενον ὥσπερ εἴρηται.

III.

(420ᵇ 5—10)

ἡ δὲ φωνὴ ψόφος τίς ἐστιν ἐμψύχου· οὐδὲν γὰρ φωνεῖ ἄψυχον, ἀλλὰ καθ᾽ ὁμοιότητα λέγεται φωνεῖν, οἷον αὐλοὶ καὶ λύρα καὶ ὅσα ἄλλα τῶν ἀψύχων ἀπότασιν καὶ μέλος καὶ διάλεκτον ἔχει· ἔοικε γὰρ ὅτι καὶ ἡ φωνὴ ταῦτ᾽ ἔχει. οὐ πάντα δὲ τὰ ζῷα φωνὴν ἔχει· τῶν γὰρ ἀναίμων οὐθὲν ἔχει· ἀλλ᾽ οὐδὲ τὰ ἔναιμα πάντα, οἷον ἰχθύες. 420 b

IV.

(421ᵃ 1—422ᵃ 23)

σημεῖον δὲ τούτου· οὐθεὶς γὰρ δύναται ἅμα ἀναπνέων φωνεῖν ἢ ἐκπνέων, ἀλλὰ κατέχων. τούτῳ κινεῖ, φανερὸν δὲ καὶ διότι 421 a

οἱ ἰχθύες ἄφωνοι· οὐ γὰρ ἔχουσι φάρυγγα. οὐκ ἔχουσι δὲ τοῦτο τὸ μόριον, ὅτι οὐ δέχονται τὸν ἀέρα οὐδ' ἀναπνέουσιν. δι' ἣν δ' αἰτίαν, ἕτερος ἔσται περὶ αὐτῶν λόγος.

De iis quæ sequuntur v. cod E_a frg. III.

V.

(422ᵇ 32—424ᵇ 18)

ἀλλὰ τί τὸ ἓν τὸ ὑποκείμενον, ὥσπερ ἀκοῇ ψόφος, οὕτως τῇ ἁφῇ, ἄδηλον δοκεῖ εἶναι. πότερον δ' ἐστὶ τὸ αἰσθητήριον ἐντός, ἢ οὔ, ἀλλ' εὐθέως ἡ σάρξ,
423a οὐθὲν δοκεῖ σημεῖον εἶναι τὸ ἅμα θιγγάνοντος φαίνεσθαι τὴν αἴσθησιν γινομένην. καὶ γὰρ νῦν εἴ τις παρατείνειε περὶ τὴν σάρκα οἷον ὑμένα ποιήσας, ὁμοίως ποιήσει τὴν αἴσθησιν εὐθὺς ἁψάμενον· καίτοι οὐ δήπου καὶ ἐν τούτῳ ἐστὶ τὸ αἰσθητήριον· εἰ δὲ καὶ προσπεφυκὸς εἴη, θᾶττον ἔτι διικνοῖτ' ἂν ἡ αἴσθησις. διὸ τὸ τοιοῦτον τοῦ σώματος μόριον ἔοικεν οὕτως ἔχειν ὥσπερ ἂν εἰ κύκλῳ ἡμῖν περιεπεφύκει ὁ ἀήρ· ἑνὶ γὰρ ἂν ἐδοκοῦμεν αἰσθάνεσθαι ὀσμῆς καὶ ψόφου καὶ χρώματος, καὶ μία τις αἴσθησις εἶναι ὄψις τε καὶ ἀκοὴ καὶ ὄσφρησις. ἀλλὰ διὰ τὸ κεχωρισμένον εἶναι δι' οὗ γίνονται αἱ κινήσεις, φανερὰ τὰ εἰρημένα αἰσθητήρια ἕτερα ὄντα. ἐπὶ δὲ τῆς ἁφῆς τοῦτο νῦν ἄδηλον· ἐξ ἀέρος μὲν γὰρ ἢ ὕδατος ἀδύνατον συστῆναι τὸ ἔμψυχον σῶμα· δεῖ γὰρ στερεὸν εἶναι. ἐκ γῆς δὲ λείπεται καὶ τούτων εἶναι μικτόν, οἷον βούλεται εἶναι ἡ σὰρξ καὶ τὸ ἀνάλογον ὅσα μὴ ἔχει σάρκα τῶν ζῴων· ὥστ' ἀνάγκη τὸ σῶμα μεταξὺ εἶναι τοῦ ἁπτοῦ καὶ προσπεφυκός, δι' οὗ γίνονται αἱ αἰσθήσεις πλείους οὖσαι. δηλοῖ δ' ὅτι πλείους εἰσὶν αἱ αἰσθήσεις ἡ ἐπὶ τῆς γλώττης ἁφή· ἁπάντων γὰρ τῶν ἁπτῶν αἰσθάνεται κατὰ τὸ αὐτὸ μόριον

καὶ χυμοῦ. εἰ μὲν οὖν καὶ ἡ ἄλλη σὰρξ χυμοῦ ᾐσθάνετο,
μία ἂν ἐδόκη εἶναι καὶ ἁφὴ καὶ ἡ γεῦσις, νῦν δὲ διὰ τὸ μὴ
ἀντιστρέφειν. ἔχει δὲ ἀπορίαν εἰ ἅπαν σῶμα βάθος ἔχει·
τοῦτο δ' ἐστὶ τὸ τρίτον μέγεθος· ὧν δ' ἐστὶ δύο σωμάτων
μεταξὺ σῶμα, ταῦτα δ' ἀδύνατον ἅπτεσθαι ἀλλήλων· τὸ δὲ
ὑγρὸν ἄνευ σώματος οὐκ ἔστιν οὐδὲ τὸ διερόν, ἀλλ' ἀναγκαῖον
ἢ ὕδωρ εἶναι ἢ ἔχειν ὕδωρ· τὰ δὲ ἁπτόμενα ἀλλήλων ἐν
τῷ ὕδατι, μὴ ξηρῶν τῶν ἄκρων ὄντων, ἀναγκαῖον ὕδωρ
ἔχειν μεταξύ, οὗ ἀνάπλεω τὰ ἔσχατα· εἰ δὲ τοῦτ' ἀληθές,
ἀδύνατον ἂν εἴη ἅψασθαι ἄλλο ἄλλου ἐν ὕδατι. τὸν αὐτὸν
δὲ τρόπον καὶ ἐν ἀέρι· ὁμοίως γὰρ ἔχει ὁ ἀὴρ πρὸς τὰ ἐν
αὐτῷ ὥσπερ ὕδωρ πρὸς τὰ ἐν αὐτῷ τῷ ὕδατι. λανθάνει
δὲ μᾶλλον ἡμᾶς, ὥσπερ καὶ τὰ ἐν τῷ ὕδατι ζῷα, εἰ διερὸν
ἅπτεται διεροῦ. πότερον οὖν ἐστι πάντων ὁμοίως ἡ αἴσθη- **423b**
σις; νῦν γὰρ οὐ δοκεῖ, ἀλλὰ τῷ ἅπτεσθαι ἡ γεῦσις καὶ ἡ
ἁφή, αἱ δὲ ἄλλαι ἄποθεν. τὸ δ' οὐκ ἔστιν, ἀλλὰ καὶ τὸ
σκληρὸν καὶ τὸ μαλακὸν δι' ἑτέρου αἰσθανόμεθα, ὥσπερ καὶ
τὸ ὁρατὸν καὶ τὸ ἔχον ψόφον καὶ τὸ ὀσφραντόν· ἀλλὰ τὰ
μὲν πόρρωθεν, τὰ δὲ διὰ τὸ λίαν ἐγγὺς λανθάνει. ἐπεὶ
πάντα γε διὰ τοῦ μέσου αἰσθανόμεθα· ἀλλ' ἐπὶ τούτων
λανθάνει.

De iis quæ sequuntur v. cod. E. frg. IV.

Supplementum criticum.

Liber I.

c. 1.] **402**ᵇ **3** διαφέρουσα scripsi e quattuor codicibus, quae lectio mihi praestare videtur, est enim aliquanto insolentius dictum illud «anima specie differens» pro «anima in species divisa» vel «animæ specie differentes», neque tamen hic loquendi usus exemplis caret, e quibus sunt: metaph. 5, 6. 1016ᵃ 24 λέγεται δ' ἓν καὶ ὧν τὸ γένος ἓν διαφέρον ταῖς ἀντικειμέναις διαφοραῖς — hist. an. 2, 17. 508ᵇ 10 μίαν γὰρ καὶ ἁπλῆν ἔχουσιν (sc. οἱ ἰχθύες τὴν κοιλίαν), διαφέρουσαν τοῖς σχήμασι cf 3, 19. 521ᵃ 31 **16** pro αἰσθητικοῦ et νοῦ coni αἰσθάνεσθαι et νοεῖν Belger, Hermes 1878, p. 302 **403**ᵃ **14** οὕτω in contextum primus recepit Bonitz, Herm. 1873, p. 417; quem secutus sum in «Symbolis criticis» (Egyetemes Philologiai Közlöny 1906, p. 293 sqq.; quæ seorsum quoque prodierunt Budapestini a. 1906) ubi scribendum esse hoc loco οὐ μέντοι ἅψεται γ' οὕτω non sine quadam veritatis specie demonstrasse mihi videor. Sed minus certa nunc mihi res videtur, neque utrum οὕτω, an τούτου Aristoteles scripserit, diiudicari posse existumo; est enim τούτου i. q. τῆς χαλκῆς σφαίρας, contra οὕτω i. q. τῆς χαλκῆς σφαίρας κατὰ στιγμήν, ut exposui l. c.; non multum igitur inter se lectiones distant **18** ἅμα ... **19** σῶμα del To, legerunt *Si*ᵖ *19, 32* *Ph*ᵖ *50, 22* *So 8, 2* || **23** τούτου μᾶλλον coni To, τούτῳ μᾶλλον coni Christ, scripsi

μᾶλλον τοῦτο e b   31 αἵματος καὶ (vel ἢ) removenda esse censet Steinhart, Symbolæ criticæ p. 3 || b 2 ὅδε] cf Symbolas meas; similia fusius disseruit Hi ad l., qui tamen εἶδος in contextu retinuit [ὅδε nunc etiam Apelt]   17 οὔτε ὡς χωριστὰ e solo E Bhl Ro, «quasi 19 καὶ οὐχ huic οὔτε respondeat, sed aut ⟨οὔτε χώριστα⟩ οὔτε aut οὐδὲ pro οὔτε minus incommodi haberet» Hi; οὐ χωριστὰ iam Dembowski W. f. Kl. Ph. 1887 p. 430 scripsit [οὔ πως χωριστὰ fort recte Apelt]

c. 2.] 21 προελθόντας omnes edd, ante πρ. interpungunt edd. ante To, post πρ. To et recc.; cf Symbolas meas   **404** a 2 τὰ σφαιροειδῆ . . . λέγει et 4 ὢν del Madvig Adv. crit. I, 471 || 19 περὶ δὲ . . . 20 παντελῆς suspecta Biehlio   b 10 ποιοῦντες, ταύτας et 11 μίαν, ταύτην Ro   18 ὁμοίως . . . 27 πραγμάτων interpunctionem mutavi, ut levius ferri possit tautologia (24 οἱ μὲν . . . 25 ἐλέγοντο et 27 εἴδη . . . πραγμάτων), quarum sententiarum altera ad priorem doctrinæ Platonicæ formam (19 αὐτὸ . . . 21 ὁμοιοτρόπως) trahenda est, altera inde a κρίνεται ad posteriorem (21 ἔτι δὲ . . . 24 στερεοῦ). || 27 εἴδη δὲ καὶ ἀριθμοὶ Steinhart   οὗτοι καὶ Susemihl Jen. Lit. Z. 1877, p. 708   28 comma ante οὕτως Bk Tr[1] Bhl *Si[l] cf p 30. 23 Ph[l] cf p 81, 24* cf metaph. 985 a 2. post οὕτως To Ro Hi *So 14, 2*   31 τοῖς ἀσωμάτοις etiam Bk, non inepte; cf poët. 1449 a 4 ἀντὶ τῶν ἰάμβων κωμῳδοποιοί et Vahlen ad l.   **405** a 19 ἔοικε . . . 21 κινεῖ etsi ab Aristotele scripta sint, huic loco postea parum apte illata videntur; del Essen   27 τε] δὲ etiam Zeller Ph. d. Gr. I[5], 646 n. 3   b 8 γὰρ] ἄρα Susemihl B. Ph. W. 1893 p. 1316   11 ὡς εἰπεῖν post 10 πάντες ponit Christ   15 ἐπειδὴ . . . 16 ἀρχῶν post 19 ποιοῦσιν ponit Steinhart   27 γὰρ post

μὲν ex E recipiunt To et recc., probat Nœtel Z. f. Gymnw. p. 142, qui aut λέγοντες post 28 ψυχρόν poni aut καλεῖσθαι ψυχὴν eici vult; comma ante 27 λέγοντες transfert Ro, post 28 ψυχρὸν om Bk Tr Hi

c. 3.] 406 [a] 10 δὴ etiam Susemihl Jen. L. Z. 1877, p 707 || 11 κινεῖται καὶ μετέχει κινήσεως tautologia quæ his verbis inest offenditur Tr; coniectabantur varia. Sed similia leguntur l. II, p 417 [a] 24 τῶν ἐπιστημόνων καὶ ἐχόντων ἐπιστήμην, cf et 408 [b] 6 13 Dittenberger Gött. G. Anz. 1863 p. 1612 e verbo φθίσεως in E omisso suspicatur primum tres tantum motus species hoc loco nominatas esse *cf So 17, 11* 23 κἂν . . . φύσει suspecta Tr, defendit Ro [b] 2 κατὰ τὸ σῶμα] κατὰ τόπον coni Bonitz Herm. 1873, p. 422; μεταβάλλοι . . . σῶμα del Hi. Verba κατὰ τὸ σῶμα sensu locali dicta esse puto, sicut interpretatur Shorey Am. Journ. Phil. 22, 153 3 ἐνδέχοιτ' ἂν legi et 4 ἐνδέχοιτ' ἂν om vult Bonitz l. c. p. 426 τούτῳ . . . 5 ζῴων a manu Christiani lectoris inserta esse suspicatur Tr, cui adversatur Bonitz l. c. p. 428 9 δι' αὐτὸ ὂν Christ 15 καθ' αὑτήν del To 407 [a] 6 τούτων . . . κυκλοφορία del Essen ante ὁ δὲ transponendum censet 19 ἀναγκαῖον . . . 22 νόησις Susemihl Oecon. p. 84 9 οὐδ' del Martin Rev. Cr. 1902, 427 || 11 ⟨τῷ ὅλῳ ἢ⟩ ὁτῳοῦν τῶν μορίων Steinhart, πότερον καθόλου ἢ ὁτ. Tr, πότερον καθ' ὅλον θιγὼν ἢ ὁτ. To, πότερον καθ' ὅλον ἢ ὁτ. Ro, πότερον ὁτῳοῦν μορίῳ (ex E) Bhl, qui et alterum μορίων in μορίῳ corr; πότερον ὁτῳοῦν τῶν αὐτοῦ ⟨μορίων⟩; μορίων δ' suspicatur Hi; omnes interrogandi signum post ὢν; v. quæ in «Symbolis» meis exposui || 15 φαίνεται δὲ . . . ἐνδεχόμενον a philosopho Platonico interpolatum existimat Christ εἰ θ' Susemihl Jen.

Lit. Z. 1877, p. 708 19 ἀναγκαῖον κτλ. v. ad 407 a 6 ‖ 22 eiciendum aut νόησις aut τοιαύτη; praeeuntibus To et Hi νόησις delevi, comma ante νόησις Ro τί interpretatur *Si^p 46, 25* To Bhl Ro, τι *Ph^p 132, 26 ; 133, 1 So 23. 18* Bk Tr Hi 30 οἵ θ' Christ 34 ῥᾴδιον] «an ἄρα ἴδιον?» Apelt b 1 μὴ οὐσία] ἡ οὐσία To, ἡ οὐσία ⟨καὶ⟩ vel ἔκστασις ἐκ τῆς οὐσίας vel μὴ ἡ οὐσία Susemihl Jen. L. Z. 1877, p. 707 ; B. Ph. W. 1893, p. 1319 ; negationem non videtur legisse *Th 22, 35*, legerunt *Si^l c 48, 13 Ph^l r 137, 7* 23 δοκεῖ . . . μορφήν] his verbis doctrina Aristotelis, animam esse formam corporis vita praediti, tamquam fundamentum subest. Neque tamen genuina sunt ; fieri enim non potest, ut notum et concessum habeatur quod postea (l. II. c. 1—2) singulari demonstrandi arte inveniatur atque comprobetur. Inserta igitur a peripatetico quodam videntur, quibus eiectis reliqua artius inter se cohaerent

c. 4.] 27 καὶ ἄλλη . . . 408 a 29 cf Bonitz, Herm. VII, p. 428 28 Bergkii coniecturam in λόγον δὲ καὶ ὥσπερ depravavit Susemihl Oec. p. 84 λόγους δ' del, δὲ post 29 εὐθύνας add Bernays Dial. d. Arist. p. 15 ‖ 29 «an εὐθύνοις?» Apelt, γενομένοις admodum dubitanter coni. Susemihl Oec. p. 84 408 a 5 εἰ del Madvig p. 471 8 ⟨μὴ⟩ συγγενὲς Steinhart, ⟨μήτε συγγενὲς μήτε μὴ⟩ συγγενὲς Susemihl Burs. Jb. 16, 264 13 τὸ λόγον etiam Bonitz Arist. Stud. I, 97, τὸ τὸν λόγον idem Arist. Stud. II. III, 61 Bhl Ro Hi Diels Fr. d. Vorsokr. 21 A 78 ‖ 25 et 26 τὸ legisse Alexandrum ex eo apparet, quod nulla alia lectio duplicem explicandi rationem ab illo prolatam admittit, v. Symbolas meas et Hi ad l. ; 26 τὸ etiam Chaignet Essai s. l. ps. d'A. p. 246, n. 2 27 $μὴ_1$ del idem 28 ὃ] ᾧ Barco Esp. cr. p. 38, n. 1 b 7 τὸ δὲ] τὸ δὴ coni. et ab

his verbis apodosin incipere vult Susemihl Jen. L. Z. 1877, p. 707   9 ἢ τοιοῦτον ἢ τῷ τοῦτο To (qui et 8 τῷ pro τὸ habet); ἢ τὸ τοῦτο vel ἤτοι τοῦτο vel ἢ τὸ αὐτὸ Bonitz Arist. Stud. II, 22; ἢ <τὸ> τοιοῦτον Hi p. 274; vulgatam retinui; ubicunque enim Aristoteles præter ceteras animæ facultates vel actiones et cogitandi facultatem commemorat, vix unquam nos monere supersedet, fieri posse ut prorsus illa a ceteris differat, quippe quæ materiæ expers sit (v. 403ª 8, 413ᵇ 24). Ita et hoc loco iram et metum cordis motiones esse dicit, cogitationem autem aut huiusmodi aliquid, i. e. motum corpori insitum, aut aliud quoddam, i. e. motum sine corpore exsistentem. Qua interpretatione recepta etiam illa quæ v. 18 ssq. de intellectu disseruntur minus improvisa occurrunt   **18** ὁ δὲ . . . **30** ἐστι alieno loco inserta censet B. Ritter, Grundprinc. d. Arist. Seelenl. p. 29, cui assentitur Susemihl; v. notam ad v. 9   **25** ἔσω] ἔξω Steinhart, ἐν ᾧ Bonitz; ἔσω retineri volunt Zeller, Phil. d. Gr. II, 2 p. 570 et Neuhäuser, Arist. Sinnl. Erk. p. 12   **409ª 19** πως et post εἶναι colon Bk   αἱ ἐν τῷ σώματι στιγμαὶ καὶ αἱ μονάδες coni. Christ

c. 5.] **31** δὲ] δὴ Susemihl, fort. recte   **ᵇ 1** ἴδιον τὸ ἄτοπον del To, quod probat Hi p. 286; dubitat Ro p. 145; tuetur Vahlen Arist. poët. p. 119; legerunt *Si*ˡ *Ph*ˡ ᶜ*173, 9 Th 32, 7*. Genuina mihi videntur; Aristoteles enim his verbis affirmat Xenocraticos et in communem omnium incidisse difficultatem, qui animam corpus subtile esse velint, et in singularem eorum, qui cum Democrito movendi quoque originem inde repetant   **5** ἢ] καὶ To, defendit ἢ Dittenberger Gött. G. Anz. 1863, p. 1615 ‖ **410ª 11** ὁμοίως . . . **12** μὴ ἀγαθόν del Susemihl Jen. L. Z.

1877, p 707 20 ἔσται... οὐσία suspecta To, post 21 ποσόν Tr² 29 πρὸς τὸ ὅμοιον] τῷ ὁμοίῳ τὸ ὅμοιον To ex *So 34, 5* μαρτυρεῖ τὸ νῦν λεχθέν del To || ᵇ4 πάντα γὰρ τἆλλα del Dittenberger Gött. G. Anz. 1863, p. 1614 6 ἐκ... 7 ἕκαστον del To, defendit Dittenberger Progr. Rudolstadt 1869 p. 19 18 οὔτε] οὐδὲ Steinhart 20 fort. legendum μόνη adnotat Tr, μόνην ⟨μόνη⟩? Susemihl Oec. p. 84 22 τὸν νοῦν καὶ τὸ αἰσθητικὸν del To, legg *Si*ˡ *Ph*ˡ ᵖ*185, 16 Th 35, 3* defendit Vahlen Zschr. f. Ö. Gymn. 1868, p. 20 || 23 φορᾶς οὐδ' del To, legg *Si*ᵖ *71, 35 Ph*ᵖ *185, 24 Th 35, 6* 26 καθόλου om To, defendit Vahlen l. c. p. 21 27 οὐδεμιᾶς] μιᾶς To τοῦτο δὲ... 411ᵃ2 ὑπειληφότας post 411ᵃ7 transponit Bywater Journ. of Phil. 1888 p. 53 **411**ᵃ 22 ὑπάρξει δῆλον ὅτι del To, legg *Si*ᶜ *75, 34 Ph*ˡ 26 οὐδ' ἀληθῶς om etiam Dittenberger Gött. G. Anz. 1863 p. 1614 || ᵇ5.6 bis ἄλλῳ scripsi cum edd. ante To, collato v. 3; ἄλλο To et recc.

Liber II.

c. 1.] **412**ᵃ **16** σῶμα τοιόνδε [om καὶ] etiam Zeller, Ph. d. Gr. II, 2 p. 480 **17** οὐκ ἂν ⟨ἐν⟩είη τὸ σῶμα ψυχή] legebatur vulgo οὐκ ἂν εἴη τὸ σῶμα ψυχή (τὸ σῶμα ἡ ψυχή Hi, σῶμα ἡ ψυχή Zeller Arch. f. G. d. Ph. 9, p. 538), quæ verba corrupta videntur, cum nihil ad definiendam animæ notionem prosint neque cum antecedentibus vel subsequentibus satis apte congruant. Expectatur immo sententia quæ neget fieri posse, ut corpus forma sit rei compositæ, quod recte sensit Innes Class. Rev. 16, p. 462,

cuius tamen coniectura (εἶδος pro ψυχή) minus placet; scribendum mihi videtur, ut factum est in contextu, οὐκ ἂν ἐνείη τὸ σῶμα ψυχῇ «fieri non poterit, ut corpus insit animæ (tamquam forma)» Cf 414^{a} 17 οὐ τὸ σῶμά ἐστιν ἐντελέχεια ψυχῆς, et totum locum cum fine c. 2., ubi simillima demonstratio lectori proponitur ^{b}**15** νῦν δ' ⟨οὐκ⟩ ἔστι πέλεκυς coni To; scribendum mihi videtur ἔστι: «sed est securis, etsi non habet animam» **20** ὁ δ' ὀφθαλμὸς ⟨τὸ σύνολον, ἡ δὲ κόρη⟩ ὕλη ὄψεως coni To || **28** τμῆσις] αἴσθησις Christ

c. 2.] 413^{a} **20** ἄλλην ἀρχὴν Susemihl **29** πάντοσε· καὶ τρέφεταί τε καὶ To, πάντῃ ὅσα καὶ τρέφεται, καὶ Bhl || ^{b}**12** post θρεπτικῷ add ὀρεκτικῷ Susemihl Jen. LZ. 1877, p. 707 **13** post κινήσει add ὀρέξει Steinhart || **22** καὶ φαντασίαν del Freudenthal, Begr. d. φαντ. b. Arist. p. 8, Schieboldt de imag. p. 44; comma vulgo post αἴσθησιν, post φαντασίαν Jackson 414^{a} **4** ἐπεὶ] ἔτι coni To || **5** λέγω coni To δὲ del Bonitz Arist. Stud. II. III, 120, cui adversatur Bywater λέγομεν . . . **6** ἐπίστασθαι in parenth. Hi, quem secutus sum; **6** ἑκατέρῳ . . . ἐπίστασθαι in parenth. Bhl **7** ᾧ del Bywater **10** ὑγιαστοῦ etiam Hayduck, progr. Gryph. p. 1 et Ro **14** γὰρ] δὲ Hayduck l. c.

c. 3.] ^{b}**4** καὶ$_2$] κατὰ Barco, Esp. crit. p. 66, n. 2 || **9** τοῖς δ' ἄλλοις αἰσθητοῖς To Tr^2 **10** οὐθὲν . . . **11** ἐστιν ante **7** ξηροῖς collocanda censet Christ || **11** δὲ$_2$] γὰρ Susemihl **15** ζῴων] ζώντων Susemihl Philol. 1888 p. 86 **25** κοινὸν ⟨μόνον⟩ Susemihl || **32** ὥστε . . . **33** θηρίον transponenda videntur post **28** τοιοῦτον καὶ ante καθ. ex E_a add To || 415^{a} **3** οἷον ante ἐν ex E_a suscepit To

c. 4.] 21 διὰ τὴν αὐτὴν αἰτίαν post τεθεωρηκέναι transponenda esse censet Christ 23 καὶ γεννήσεως del Essen progr. Stargard 1866, p. 23 ᵇ 2 τὸ δ' οὗ... 3 ᾧ del Tr coll ᵇ 20. Non bis idem his locis ab Aristotele dici contendit To p. 139; sed cf Elmsley ad Soph. Oed. C. 808 7 ἔστι δὲ... 416ᵃ 18 ὕλης non huic loco destinata ab Aristotele videntur; 7 ἔστι δὲ... 28 ζωῆς num ab Aristotele scripta fuerint dubitat Susemihl. Oecon. p. 84 et ne sequentia quidem 28 Ἐμπεδοκλῆς... 416ᵃ 18 ὕλης satis conexa esse cum præcedentibus et sequentibus opinatur 10 αὕτη Ro, [αὐτῇ] Bhl || 14 τούτου recte Ro (v. comm. p. 321) et Hi; τούτων ceteri || 18 καὶ del To, om Tr φυσικὰ] ἔμψυχα coni dubitanter To 28 προσθέσει coni Karsten, Emped. p. 454 416ᵃ 3 καὶ τῷ παντὶ del Susemihl, Jen. L. Z. 1877, p. 708 5 post ἔργοις add τὸ δ' αὐτὸ λέγειν ὄργανον ᾧ ἂν ᾖ τὸ αὐτὸ ἔργον Ald Basil cf E_a, non legg. vett. interpr. 11 ἢ τῶν στοιχείων del To || 24. 25 πάντα πόσα, quamquam codicum auctoritate destituta, recte edd. ᵇ 11 ⟨ἔμψυχον ᾗ⟩ ἔμψυχον (nisi καὶ secludere malis) coni Susemihl Oec. p. 84 23 ἐπεὶ δὲ... 25 αὐτὸ ante 20 ἐπεὶ transposuit To, eodem loco, quo vulgata, hæc verba legerunt *Ph p. 287 Th p. 53 So p. 62* 27 κινοῦν μόνον Bk Tr To, κινούμενον ⟨μόνον⟩ Dittenberger Gött. G. Anz. 1862 p. 1613 Bhl Hi, κινούμενον Ro 28 δ'] γὰρ Susemihl

c. 5.] 417ᵃ 13 ὁμοίως... 14 ἐνεργείᾳ suspecta Tr, del Bhl Ro αἰσθητόν To, Brentano Ps. d. Ar. 141; αἰσθάνεσθαι defendebat Barco, dell' an. veg. e sens. p. 43 || 15 πάσχειν ⟨τε⟩? Susemihl l. c. 17 πάντα... 20 ἐστιν del Susemihl 22 νῦν] οὐ Roeper Philol.

VII, p. 238 ἐλέγομεν coni To, λέγομεν etiam *Ph*[l] *p299, 5 So 66, 27* 25 ἤδη defendit Vahlen, Arist. Aufs. II, 26 contra To 26 ἑκάτερος . . . 28 ἔξωθεν in parenth. To 28 τρίτος δ' ὁ ἤδη To e *So 66, 37 cf Th 55, 22* 30 πρῶτοι del et ἐπιστήμονες ⟨ἐνεργείᾳ γίνονται ἐπιστήμονες⟩ scripsit To ‖ 32 αἴσθησιν] ἀριθμητικὴν e *Th* scripsit To [b] 9 τὸ μὲν . . . 11 δίκαιον suspecta Hayduckio, pr. Meldorf 1877, p. 11 10 ἄγον etiam *Alex* ἀπ[c] *81, 15 Ph*[l] *cf* *p 304, 6; 306, 2*; coni ἄγειν To κατὰ etiam *Alex l. c.*, del To 12 ἐκ δυνάμει ὄντος etiam *Ph*[l] *So 67, 21 cf Th 28, 29* 14 ὥσπερ εἴρηται om Hayduck l. c. fort post ἢ traiicienda, coll. v. 7, putat Susemihl Oec. p. 85

c. 6.] 418[a] Pro 11 πασῶν et 19 πάσαις coni. πλειόνων et πλείοσι Schieboldt, de imag. p. 15 20 ὄψει] γεύσει Steinhart

c. 7.] 29 τοῦτο . . . 31 ὁρατόν del Susemihl Oec. p. 85 ‖ [b] 6 χρῶμα etiam *Theoph. ap. Prisc. 7, 28,* del Siebeck Philol. 40, p, 347 8 ἐνυπάρχουσα ἡ αὐτὴ non bene explicat Tr («aqua et aër inde perspicua sunt elementa, quod utrumque eandem habet naturam atque cælum») qui et καὶ ante 10 τοῦ inseri iubet: rectam interpretandi viam ingressus est To qui ὑπάρχουσα ἡ αὐτὴ idem esse ac κοινή contendit coll. de sensu 3. 439[a] 23. Totum autem locum sic intellegendum esse puto: «aqua et aër non inde sunt perspicua quod aqua sunt et aër, sed quod est quædam communis indoles corporibus perspicuis e. g. aëri, aquæ, ætheri insita, quam perspicuitatem dicimus.» ‖ 10 καὶ ante ἐν transposuit Steinhart 12 ἢ . . . 13 ταὐτόν del Susemihl post τοιούτου comma posui,

quo facto omnes difficultates sublatæ videntur; coniungendum igitur: ὅταν ᾖ ἐντελεχείᾳ διαφανές, οἷον τὸ ἄνω σῶμα, ὑπὸ πυρὸς ἢ τοιούτου. Neque enim ab æthere, ut ab igne, lux originem capit, quod recte monuit Beck (diss. Berol. 1860 p. 9 sqq), multum enim inter se discrepat ætheris natura et ignis, nec tamen aliud, quam æthera illo ἄνω σώματι designari posse mihi persuasum habeo (cf. **9** ἐν τῷ ἀ ι δ ί ῳ τῷ ἄνω σώματι). Aethera autem, quam supra (v. 9) perspicuis adscripsit corporibus, nunc actu perspicuum factum dicit Aristoteles ὑπὸ πυρὸς ἢ τοιούτου, ab igne vel calore, qui summo aëre gignitur æthere circumlato || **15** post σῶμα transferenda esse, quæ nunc v. 17 leguntur, ita: σῶμα (οὐδὲ γὰρ . . . εἶναι), οὐδ' ἀπορροή censet To || **16** πυρὸς . . . παρουσία] Ut actu perspicuum fiat, quod potentia tantum perspicuum fuerit antea, igne vel alia huius generis materia opus est. Ignis igitur neque perspicuum est, neque lux, sed fons quidam lucis (cf 419 [a] 23 sq), quo allato tenebræ in lucem se vertunt. Qua quidem ratione dici poterat lucem esse ignis præsentiam in corpore perspicuo. Illud ἢ τοιούτου τινὸς, quod deleri vult Susemihl, ad summum aërem spectare videtur qui corporibus cælestibus frictus igneam induit naturam finitimisque regionibus lucem et calorem præbet **419** [a] **5** κρέας coni Chandler **9** αὐτό recepit Tr **21** δι' ἣν . . . **25** διαφανές del Susemihl Oec. p. 85 **32** Vulgatam tuentur *Si 138, 29 sq Ph[c] 354, 7 cf So 84, 11. Th 62.26* interpretatur: τὸ δὲ μεταξὺ ψόφου καὶ ὀσμῆς ἀὴρ καὶ ὕδωρ, unde Brandis (ap. Tr p. 308) coni Them. legisse τὸ δὲ μεταξὺ ψόφων καὶ ὀσμῆς ἀνώνυμον; — To: τὸ δὲ μεταξὺ ψόφου μὲν καὶ ὀσμῆς ἀήρ τε καὶ ὕδωρ· τὸ δὲ κοινὸν ἀνώνυμον. κοινὸν . . . τὸ δὲ μεταξὺ . . . [b] **3** λεχθήσεται del Essen,

d. 2-te Buch d. Ar. Schr. ü. d. Seele p. 46 b 1 ἀλλ' . . . 4 διορίσωμεν etiam *Si^p 139, 6 sqq* ; e *Th 62, 33* et *So 84, 16* To coni Aristotelem hæc fere scripsisse: ἀλλ' ὁ μὲν ἄνθρωπος καὶ τῶν πεζῶν ὅσα ἀναπνεῖ ἀδυνατεῖ ὀσμᾶσθαι μὴ ἀναπνέοντα, τὰ δὲ ἔνυδρα ὀσμᾶται καὶ μὴ ἀναπνέοντα. ἡ δ' αἰτία καὶ περὶ τούτων ὕστερον λεχθήσεται. νῦν δ' ἐκ τῶν εἰρημένων δῆλον τί ἐστιν ὄψις. μετὰ δὲ ταῦτα λεκτέον περὶ ἀκοῆς καὶ ὀσφρήσεως· καὶ πρῶτον μὲν περὶ ψόφου καὶ ἀκοῆς διορίσωμεν

c. 8.] 18 ἐν] μὲν ἐν coni To ἀλλ' ἧττον etiam *Si^l p 140, 16 Ph^l p 359, 28 Th 63, 20* del To 20 καὶ etiam *Si^l p 140, 26 Ph^c 360, 7 So 84, 37* ; ἢ καὶ Steinhart, To 24 ὥσπερ ἂν . . . 25 ταχύ del Susemihl Burs. Jb. 88, 13 τις] τι Essen d. 2-te B. p. 48, n 4. || 25 ἠχὼ . . . 27 σφαῖρα] «Vocis imago gignitur, cum ab aëre qui cavo vase continetur aër repellitur.» Absurda sane definitio. Omittendum igitur videtur ἀπὸ τοῦ cum codd SUVX et delendum τὸ ἀγγεῖον, ineptissum interpretamentum ad τὸ διορίσαν καὶ κωλῦσαν θρυφθῆναι spectans (quod tamen legerunt *Alex de an 58, 1 et ap Si 141. 25 Si^l p 141, 13 Ph^l p 360, 27 So 85, 30*), ut hic fere purgati loci sensus enitescat: «Sonus efficitur, cum aër unus et continuus ictu repentino commovetur. imago autem soni, cum aër ita commotus per obstaculum quoddam (διὰ τὸ διορίσαν καὶ κωλῦσαν θρυφθῆναι) repellitur, tamquam pila.» || 33 τὸ δὲ . . . εἶς partim corrupta partim alieno loco posita esse putat To p. 148 **420** a 2 ἅμα] καὶ ἅμα ἀφάλλεται suspicatur To, *cf Th 64, 10* 4 διὰ τὸ ἕνα ἀέρα εἶναι Pacius, Steinhart 6 ὁ ἀὴρ del To . . . ἀέρα ἀλλὰ τὸ To 7 ἔμψυχον] ἔμψοφον To, sed τὸ κινησόμενον μέρος καὶ ἔμψυχον significare videtur τὸ ζῷον, partem

quæ patitur, contra τὸ κινητικόν, partem quæ agit. Cf. etiam Ro comm. p. 294   αὐτὸς ... 9 ψόφος ante 419 b 33 τὸ δὲ transponenda censet Steinhart, eadem, mutato δὲ in γάρ, ante 419 b 25 ἠχὼ Susemihl Jen. L. Z. 1877, p. 708 || 10 ἀμετακίνητος Hayduck progr. Gryph. 1873 p. 2 || 12 τὸν συμφυῆ ... 13 ἕλικας etiam *Si^v 144, 28 Ph^l r367, 29 So 87, 11*; del To   15 ἀλλὰ ... 18 ἴδιος del To || 16 ἀεὶ,] καὶ Essen d. 2-te B. p. 51   31 οὐ δὴ ... 33 βραδυτῆτα del Susemihl Jen. L. Z. 1877, p. 708 || 33 κίνησις] αἴσθησις Essen, d. 2-te B. p. 52   b 10 post ἰχθύες et 11 ψόφος virgulas ponendas et καὶ ... 11 ψόφος post 13 τοιούτῳ transponendum censet Susemihl B. Jb. 34, p. 28   11 εἴπερ ... ψόφος etiam *Si^l r148, 20 Ph^l r378, 1 Th 66, 21 So 88, 28*; fort. corrupta putat To || ἀλλ' ... 13 τοιούτῳ del To   13 post ψόφος censet excidisse οὐ πᾶς δὲ To, οὐ παντὸς δέ, ἀλλ' οὐδὲ παντὶ μορίῳ *Th 66, 24*, vulgatam tuetur *So 88, 30* (om 14 καὶ)

c. 9.] 421 a 16 καὶ κατὰ τὰς ὀσμάς coni Christ || 27 ἀλλὰ ... 29 τοὐναντίον delevi, importune enim orationis contextum interrumpunt, neque cum iis quæ infra (421 b 1 sqq) exponuntur conciliari possunt; v. notam ad l.; in parenth. hæc verba ponenda esse censet Miss Alford   b 1 καθ' ὁμοιότητα τῶν πραγμάτων] Explicantur hæc verba iis quæ consequuntur: ἡ μὲν γὰρ γλυκεῖα κρόκου καὶ μέλιτος κτλ. Odores dulces dicuntur καθ' ὁμοιότητα τῶν πραγμάτων, h. e. quod ab iis rebus proficiscuntur, quæ dulce sapiunt. Sunt igitur τὰ πράγματα, de quibus agitur, res quibus odores et sapores insunt. Vix enim alia interpretatio cogitari potest, nisi Torstrikium secutus verbis τὰ πράγματα quas nunc dicunt sensationes, e. g. γλυκεῖαν ὀσμήν et γλυκὺν χυμόν designari malis. Qua

interpretatione recepta tamen quid verba «ἡ μὲν γὰρ γλυκεῖα κρόκου καὶ μέλιτος» ad comprobandam sententiam prosint percipere non possum. Neque eorum sententia præstare videtur, qui exempla his verbis allata esse velint. Utcunque res est, verba 27 ἀλλὰ . . . 29 τοὐναντίον contra illam sententiam (fortasse ab ipso scriptore) obiecta et a margine in contextum prolapsa videntur 4 καὶ ἡ ἀκοὴ exstingui vult Madvig 19 ἀνθρώπων] ὀσφραντῶν Hayduck, pr. Gryph. 1873, p. 3 («coniectura palmaris» Susemihl) 21 ἀλλ' ἀδύνατον «verba a sensu suspecta, ut, iis eiectis, εἴπερ ad λεγομένας trahere præstet» Tr

c. 10.] 422 a 12 εἶμεν, αἰσθανοίμεθα receperunt Bk To ‖ 32 ἀμφοτέρου suspicatur Tr b 6 αὕτη etiam *Si*[c] *157, 24* *Ph*[c] *406, 1* *So 95, 16*, αὐτοῦ coni To ‖ 16 post αὐτοῦ excidisse putat οἷον αὐτὸ To, quod habent in interpretatione *Ph 407, 16* *Th 72, 10*

c. 11.] 20 ἁπτικοῦ] ἁπτοῦ ἁπτικόν Bk, To, Tr 423 a 4 ἁψαμένῳ vel ἁψαμένοις coni Tr, ἁψαμένου To qui huc conferri iubet quæ ad 435 a 1 μένοντος exposuit; ἁψαμένοις *Th 73, 2* 13 ἔμψυχον etiam *Si*[l] [r]*162. 10* *Ph*[l] [c]*426, 24* *Th 73, 22*: μεταξὺ ὂν Susemihl B. Jb XI, 351 ‖ 14 post βούλεται ins εἶναι καὶ To 15 post ἀναγκαῖον add εἰ γὰρ πᾶσα αἴσθησις διὰ τοῦ μεταξύ, καὶ ἡ ἀφή Ald, Basil, additamentum ut v. e *Th 73, 27* sumptum ‖ 31 ἡμᾶς, ὥσπερ] ἡμᾶς ὁ ἀήρ dubitanter coni Ro II, 328; pro ὥσπερ legisse τὰ ἐν τῷ ἀέρι *Ph 428, 26* et *So 98, 5* putat Ro b 6 διὸ λανθάνει... 8 λανθάνει corrupta iam Trendelenburgio (p. 355) videbantur, qui pro διὸ λανθάνει «διὸ εὔλογον» Aristotelem scripsisse suspicatus est. «διὸ λεκτέον» Ro (II, 328), qui tamen verba 6 ἀλλὰ . . .

7 λανθάνει tamquam spuria omitti mavult. Sed his verbis deletis etiam ratio, cur interiectus in tangendo aër nos lateat, e verbis τὰ δ' ἐγγύθεν petenda tollitur. Mutata igitur interpunctione et verbis 7 ἐπεὶ . . . 8 λανθάνει remotis aliam huic loco medicinam quæsivi; qua in re inveniendia præcesserat Essen (d. 2-te B. d. Arist. Schr. üb. d. Seele p. 68) 21 τὸ σῶμα τὸ λευκὸν scripsi Torstrikium secutus, sed fortasse scribendum erat σῶμά τι λευκὸν, quod et *Th* 75, 23 ante oculos habuisse videtur; unde ortum esse putaveris illud σῶμα τὸ λευκὸν quod articulo omisso correctum est in SUVX [σῶμά τι λευκὸν nunc etiam Apelt] **424** ᵃ 2 τὸ ante δυνάμει ὂν ex E_a add To

c. 12.] ᵇ 9 ἕκαστον] ἑκάστου fort. legendum esse censet Ro II, 336

Liber III.

c. 1.] **424** ᵇ 24 . . . **425** ᵃ 13 cf Bonitz Arist. St. II. III, 36 13 ἀλλὰ . . . ᵇ 3 εἶναι] Totum hunc locum transponendo et emendando restituere conatus est Susemihl B. Jb. XXX, 42; nos quidem, quomodo locum intellegendum esse putemus, interpunctione significavimus || 15 οὐ ante κατὰ συμβ. addidit To, quem secutus est Biehl. nihil esse addendum putant Brentano Psychol. d. Arist. p. 98, Zeller Ph. d. G. II, 2 p 543, Ro, Hi || 16 κινήσει] κοινῇ *Si*ᵖ *184, 7a* quod in contextum recepit To; κινήσει et apud *Si* esse legendum coll. *183, 4.30* recte iudicavit Hayduck, τῇ κινήσει etiam *Prisc Lyd 21, 17* et *Theophrastus* ibidem 17 οἷον ⟨κίνησιν. τὸ δὲ⟩ μέγεθος coni To 18 μεγέθους coni To 21 οὕτω . . . 24 γνωρίζομεν et 27 τῶν δὲ . . . 28 ἰδία posterioris, 24 εἰ δὲ . . . 29 εἴρηται prioris recensionis esse iudicat To ||

27 τῶν ... 30 ὁρᾶν post [b] 3 εἶναι transponenda censet Dembowski, Quæst. Ar. duæ p 85, probat Susemihl Oec. 85 || 28 οὐδαμῶς ... 30 ὁρᾶν suspecta Trendelenburgio del Steinhart 29 τὸν ... 30 ὁρᾶν del To, recte ut m. v.; verba ὥσπερ εἴρηται enim ad v. 22 τῇ ὄψει τὸ γλυκὺ αἰσθανόμεθα spectant cf Dembowski l. c. p. 89 [b] 9 ἅμα] ἀεὶ coni To

